GREEK SERIES · VOLUME 95

The Embassy to Gaius

Philo · Josephus · Plutarch

ΠΕΡΙ ΑΡΕΤΩΝ
ΚΑΙ ΠΡΕΣΒΕΙΑΣ ΠΡΟΣ ΓΑΙΟΝ

The Embassy to Gaius

With Against Flaccus, Josephus on the Death of Gaius,
and Plutarch's Galba and Otho

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 95 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Cohn and Reiter's Philo (1915), Niese's Josephus (1890), and Perrin's Loeb Plutarch (1926). Two phrases of the Embassy, one of Josephus, and one of the Galba are omitted; [...] marks them.

Set from the First Thousand Years of Greek
and the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editors seclude are not printed; words
they supply are printed without their brackets.

CONTENTS

PHILO · THE EMBASSY TO GAIUS

I · Providence and the New Emperor 11
II · The Death of Tiberius' Grandson 20
III · The Fall of Macro 29
IV · Silanus, and the Flatterers' Excuses 38
V · Gaius Among the Demigods and Gods 47
VI · Apollo, Ares, and the Jews' Refusal 56
VII · The Pogrom at Alexandria 64
VIII · Augustus and the Jews 72
IX · Tiberius, and the Slanders of Helicon 82
X · The Audience and the Terrible News 91
XI · The Order to Petronius 103
XII · The Supplication of the Jews 109
XIII · Petronius Delays 118
XIV · Agrippa's Collapse and His Letter 126
XV · Agrippa's Letter: The City and the Temple 134
XVI · Agrippa's Letter: The Precedent of Augustus 142
XVII · Gaius Relents, and Repents 151
XVIII · The Audience in the Gardens 160

PHILO · AGAINST FLACCUS

I · Flaccus Before His Fall 175
II · The Plot, and Agrippa in Alexandria 184
III · The Images and the Decree 193
IV · Murder, and the Scourging of the Elders 201
V · Crucifixions, and the Search for Arms 210
VI · Justice Overtakes Flaccus 219
VII · The Accusers Isidorus and Lampo 228
VIII · Condemnation and Exile to Andros 238
IX · The Death of Flaccus 248

JOSEPHUS · JEWISH ANTIQUITIES XIX

I · The Madness of Gaius 261
II · The Grievances of Chaerea 269
III · The Conspiracy Grows 278
IV · The Last Day 287
V · The Murder 295
VI · Panic in the Theater 304
VII · The Senate and Sentius' Speech 313
VIII · Liberty Restored, and Caesonia's Death 323
IX · The Finding of Claudius 330
X · Agrippa Between Claudius and the Senate 338
XI · The Triumph of Claudius 349
XII · The Edicts, and Agrippa's Return 358
XIII · Agrippa's Reign 367
XIV · The Death of Agrippa 376

PLUTARCH · GALBA

I · Galba Is Proclaimed 389
II · The News from Rome 400
III · Nymphidius Falls, and Galba Enters Rome 409
IV · Discontent, and the Rise of Otho 420
V · The Murder of Galba 430

PLUTARCH · OTHO

I · Otho's First Days 447
II · The War in Italy 456
III · The Battle of Bedriacum 465
IV · The Death of Otho 476

PHILO

ΠΕΡΙ ΑΡΕΤΩΝ ΚΑΙ ΠΡΕΣΒΕΙΑΣ ΠΡΟΣ ΓΑΙΟΝ

The Embassy to Gaius

Old men still judge like children, by the senses and not by reason; but the present crisis proves that God cares for the race called Israel, the one that sees God, and his punishing powers are among his benefits. When Gaius succeeds Tiberius he inherits a peaceful empire, treasure, and armies, and the whole world rejoices for seven months as never before. In the eighth, having traded the simpler life he led under Tiberius for wine and gluttony, he falls gravely ill, and every land grieves, fearing the evils of anarchy, until his recovery is announced and the rejoicing begins again.

Ἄχρι τίνος ἡμεῖς οἱ γέροντες ἔτι παῖδές ἐσμεν, τὰ 1
until what we the old-men still children are the
μὲν σώματα χρόνου μήκει πολιοί, τὰς δὲ ψυχὰς
indeed bodies by-time's length gray the but souls
ὑπ᾽ ἀναισθησίας κομιδῇ νήπιοι, νομίζοντες τὸ μὲν
through insensibility altogether infants thinking the indeed
ἀσταθμητότατον, τὴν τύχην, ἀκλινέστατον, τὸ δὲ
most-unstable the fortune most-unswerving the but
παγιώτατον, τὴν φύσιν, ἀβεβαιότατον; ὑπαλλαττόμεθα
most-fixed the nature most-insecure we-exchange
γὰρ καθάπερ ἐν ταῖς πεττείαις τὰς πράξεις μετατιθέντες,
for as in the checkers-games the actions transposing
οἰόμενοι τὰ μὲν τυχηρὰ μονιμώτερα εἶναι τῶν φύσει,
thinking the indeed things-of-fortune more-lasting to-be than-the by-nature
τὰ δὲ κατὰ φύσιν ἀβεβαιότερα τῶν τυχηρῶν.
the but according-to nature more-insecure than-the things-of-fortune
αἴτιον δὲ τὸ τὰ παρόντα βραβεύειν ἀπροοράτως τῶν 2
cause and the the present to-judge without-foresight of-the
μελλόντων ἔχοντας, αἰσθήσει πεπλανημένῃ χρωμένους πρὸ
future being sense deceived using before
διανοίας ἀπλανοῦς· ὀφθαλμοῖς μὲν γὰρ τὰ ἐν φανερῷ
thought undeceived by-eyes indeed for the in sight

καὶ ἐν χερσὶ καταλαμβάνεται, λογισμὸς δὲ φθάνει καὶ
and at hand is-grasped reasoning but reaches-beforehand even
πρὸς τὰ ἀόρατα καὶ μέλλοντα, οὗ τὴν ὄψιν ὀξυωπεστέραν
to the unseen and future whose the vision keener
οὖσαν τῆς δι᾽ ὀμμάτων σώματος ἀμαυροῦμεν, οἱ
being than-the through eyes of-body we-dim the(-ones)
μὲν ἀκράτῳ καὶ πλησμοναῖς ὑποσυγχέοντες, οἱ
indeed with-unmixed-wine and surfeits confounding the(-others)
δὲ τῷ μεγίστῳ τῶν κακῶν, ἀμαθίᾳ.
and with-the greatest of-the evils ignorance

3 πλὴν ὁ παρὼν καιρὸς καὶ αἱ κατ᾽ αὐτὸν κριθεῖσαι πολλαὶ
however the present occasion and the in it judged many
καὶ μεγάλαι ὑποθέσεις, κἂν εἰ ἄπιστοι γεγόνασί τινες
and great cases even if unbelieving have-become some
τοῦ προνοεῖν τὸ θεῖον ἀνθρώπων, καὶ μάλιστα τοῦ
of-the to-take-forethought the divine for-men and most of-the
ἱκετικοῦ γένους, ὃ τῷ πατρὶ καὶ βασιλεῖ τῶν ὅλων
suppliant race which to-the father and king of-the whole
καὶ πάντων αἰτίῳ προσκεκλήρωται, ἱκαναὶ πεῖσαι αὐτούς.
and of-all cause has-been-allotted sufficient to-persuade them

4 τοῦτο δὲ τὸ γένος Χαλδαϊστὶ μὲν Ἰσραὴλ καλεῖται,
this and the race in-Chaldean indeed Israel is-called
Ἑλληνιστὶ δὲ ἑρμηνευθέντος τοῦ ὀνόματος "ὁρῶν θεόν",
in-Greek but interpreted the name seeing god
ὅ μοι δοκεῖ πάντων χρημάτων ἰδίων τε καὶ κοινῶν
which to-me seems of-all things private both and common
εἶναι τιμιώτατον.
to-be most-precious

5 εἰ γὰρ πρεσβυτέρων ἢ ὑφηγητῶν ἢ ἀρχόντων ἢ γονέων
if for of-elders or of-guides or of-rulers or of-parents
ὄψις κινεῖ τοὺς βλέποντας πρὸς αἰδῶ καὶ εὐκοσμίαν καὶ
sight moves those seeing to reverence and orderliness and

σώφρονος βίου ζῆλον, πόσον τι νομίζομεν ἀρετῆς
of-temperate life emulation how-great something do-we-think of-virtue
ἔρμα καὶ καλοκαγαθίας ἀνευρήσειν ἐν ψυχαῖς, αἳ τὸ
ballast and of-nobility to-be-going-to-find in souls which the
γενητὸν πᾶν ὑπερκύψασαι τὸ ἀγένητον καὶ θεῖον ὁρᾶν
created all having-peered-beyond the uncreated and divine to-see
πεπαίδευνται, τὸ πρῶτον ἀγαθὸν καὶ καλὸν καὶ εὔδαιμον
have-been-trained the first good and beautiful and happy
καὶ μακάριον, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, τὸ κρεῖττον
and blessed if but it-is-needful the-truth to-say the(-thing) better
μὲν ἀγαθοῦ, κάλλιον δὲ καλοῦ, καὶ μακαριότητος
indeed than-good more-beautiful and than-beautiful and than-blessedness
μὲν μακαριώτερον, εὐδαιμονίας δὲ αὐτῆς εὐδαιμονέστερον,
indeed more-blessed than-happiness but itself happier
καὶ εἰ δή τι τῶν εἰρημένων τελειότερον.
and if indeed anything of-the said more-perfect
οὐ γὰρ φθάνει προσαναβαίνειν ὁ λόγος ἐπὶ τὸν ἄψαυστον 6
not for reaches to-climb-up the speech to the untouchable
καὶ ἀναφῆ πάντῃ θεόν, ἀλλ᾽ ὑπονοστεῖ καὶ ὑπορρεῖ κυρίοις
and intangible altogether god but sinks-back and slips-down with-proper
ὀνόμασιν ἀδυνατῶν ἐπιβάθρᾳ χρῆσθαι πρὸς δήλωσιν, οὐ
names unable as-step to-use for declaration not
λέγω τοῦ ὄντος — οὐδὲ γὰρ ὁ σύμπας οὐρανὸς ἔναρθρος
I-mean of-the being nor for the whole heaven articulate
φωνὴ γενόμενος εὐθυβόλων καὶ εὐσκόπων εἰς τοῦτο ἂν
voice having-become with-apt and well-aimed for this —
εὐποροίη ῥημάτων — ἀλλὰ τῶν δορυφόρων αὐτοῦ
would-be-supplied words but of-the bodyguard his
δυνάμεων, κοσμοποιητικῆς τε καὶ βασιλικῆς καὶ προνοητικῆς
powers cosmos-making both and royal and providential
καὶ τῶν ἄλλων ὅσαι εὐεργέτιδές τε καὶ κολαστήριοι,
and of-the others as-many-as beneficent both and punitive

7 εἰ καὶ τὰς κολαστηρίους ἐν εὐεργέτισι τακτέον, οὐ μόνον
if even the punitive among beneficent one-must-rank not only
ἐπειδὴ νόμων καὶ θεσμῶν εἰσι μοῖραι — νόμος γὰρ ἐκ
since of-laws and ordinances they-are portions law for from
δυοῖν συμπληροῦσθαι πέφυκε, τιμῆς ἀγαθῶν καὶ πονηρῶν
two to-be-completed is-wont honor of-good and of-wicked
κολάσεως—, ἀλλ' ὅτι καὶ ἡ κόλασις νουθετεῖ καὶ
punishment but because also the punishment admonishes and
σωφρονίζει πολλάκις μὲν καὶ τοὺς ἁμαρτάνοντας, εἰ δὲ μή,
chastens often indeed even those erring if but not
πάντως γοῦν τοὺς πλησιάζοντας· αἱ γὰρ ἑτέρων τιμωρίαι
certainly at-least those near the for of-others punishments
βελτιοῦσι τοὺς πολλοὺς φόβῳ τοῦ μὴ παραπλήσια παθεῖν.
improve the many through-fear of-the not similar-things to-suffer

8 Τίς γὰρ ἰδὼν Γάιον μετὰ τὴν Τιβερίου Καίσαρος
who for having-seen Gaius after the of-Tiberius Caesar
τελευτὴν παρειληφότα τὴν ἡγεμονίαν πάσης γῆς καὶ
death having-taken-over the empire of-all land and
θαλάσσης ἀστασίαστον καὶ εὔνομον καὶ πᾶσι τοῖς
sea unrent-by-faction and well-ordered and in-all the
μέρεσιν ἡρμοσμένην εἰς τὸ σύμφωνον, ἑῴοις, ἑσπερίοις,
parts fitted into the harmony eastern western
μεσημβρινοῖς, ἀρκτικοῖς — τοῦ μὲν βαρβαρικοῦ γένους
southern northern the indeed barbarian race
τῷ Ἑλληνικῷ, τοῦ δ' Ἑλληνικοῦ τῷ βαρβαρικῷ, καὶ
with-the Greek the and Greek with-the barbarian and
τοῦ μὲν στρατιωτικοῦ τῷ κατὰ πόλεις, τοῦ δὲ πολιτικοῦ
the indeed military with-the in cities the and civil
τῷ στρατευομένῳ συμφρονήσαντος εἰς μετουσίαν καὶ
with-the soldiering having-agreed for sharing and

ἀπόλαυσιν εἰρήνης — οὐκ ἐθαύμασε καὶ κατεπλάγη τῆς
enjoyment of-peace not marveled and was-amazed at-the
ὑπερφυοῦς καὶ παντὸς λόγου κρείττονος εὐπραγίας,
extraordinary and than-every word greater good-fortune
ἐξ ἑτοίμου τἀγαθὰ ἀθρόα σωρηδὸν κεκληρονομηκότα, 9
from ready the-goods all-together in-heaps having-inherited
παμπληθεῖς θησαυροὺς χρημάτων, ἄργυρον καὶ χρυσόν,
vast treasures of-money silver and gold
τὸν μὲν ὡς ὕλην, τὸν δὲ ὡς νόμισμα, τὸν δὲ ὡς
the indeed as material the and as coin the and as
προκόσμημα δι᾽ ἐκπωμάτων καί τινων ἑτέρων ἃ
ornament through drinking-cups and some others which
πρὸς ἐπίδειξιν τεχνιτεύεται, παμπληθεῖς δυνάμεις, πεζάς,
for display are-crafted vast forces infantry
ἱππικάς, ναυτικάς, προσόδους ὥσπερ ἐκ πηγῶν ἀενάῳ
cavalry naval revenues as from springs by-ever-flowing
τινὶ φορᾷ χορηγουμένας,
some current supplied
ἀρχὴν οὐχὶ τῶν πλείστων καὶ ἀναγκαιοτάτων μερῶν τῆς 10
empire not of-the most and most-necessary parts of-the
οἰκουμένης, ἃ δὴ καὶ κυρίως ἄν τις οἰκουμένην εἴποι,
inhabited-world which indeed also properly — anyone inhabited-world would-call
δυσὶ ποταμοῖς ὁριζομένην, Εὐφράτῃ τε καὶ Ῥήνῳ, τῷ
by-two rivers bounded Euphrates both and Rhine the
μὲν ἀποτεμνομένῳ Γερμανίαν καὶ ὅσα θηριωδέστερα
indeed cutting-off Germany and as-many-as more-savage
ἔθνη, Εὐφράτῃ δὲ Παρθυηνὴν καὶ τὰ Σαρματῶν γένη καὶ
nations Euphrates but Parthia and the of-Sarmatians races and
Σκυθῶν, ἅπερ οὐχ ἧττον ἐξηγρίωται τῶν Γερμανικῶν,
of-Scythians which no less have-grown-savage than-the Germanic
ἀλλ᾽, ὡς εἶπον ἤδη, τὴν ἀφ᾽ ἡλίου ἀνιόντος ἄχρι δυομένου
but as I-said already the from sun rising to setting

τήν τε ἐντὸς ὠκεανοῦ καὶ ὑπερωκεάνιον; ἐφ' οἷς ὅ τε
the both within ocean and beyond-ocean at which the both
Ῥωμαίων δῆμος ἐγεγήθει καὶ πᾶσα Ἰταλία τά τε Ἀσιανὰ
of-Romans people rejoiced and all Italy the both Asian
καὶ Εὐρωπαῖα ἔθνη.
and European nations

11 ὡς γὰρ ἐπ' οὐδενὶ τῶν πώποτε γενομένων αὐτοκρατόρων
as for at none of-the ever having-been emperors
ἅπαντες ἠγάσθησαν, κτῆσιν καὶ χρῆσιν ἰδίων τε καὶ
all admired possession and use of-private both and
κοινῶν ἀγαθῶν οὐκ ἐλπίζοντες ἕξειν, ἀλλ' ἔχειν
common goods not hoping to-be-going-to-have but to-have
ἤδη νομίζοντες πλήρωμά τινος εὐτυχίας, ἐφεδρευούσης
already thinking fullness of-some good-fortune awaiting
εὐδαιμονίας.
happiness

12 οὐδὲν γοῦν ἦν ἰδεῖν ἕτερον κατὰ πόλεις ἢ βωμούς,
nothing at-least it-was-possible to-see other in cities than altars
ἱερεῖα, θυσίας, λευχειμονοῦντας, ἐστεφανωμένους, φαιδρούς,
victims sacrifices people-dressed-in-white crowned bright
εὐμένειαν ἐξ ἱλαρᾶς τῆς ὄψεως προφαίνοντας, ἑορτάς,
goodwill from cheerful the face showing-forth feasts
πανηγύρεις, μουσικοὺς ἀγῶνας, ἱπποδρομίας, κώμους,
festivals musical contests horse-races revels
παννυχίδας μετ' αὐλῶν καὶ κιθάρας, τέρψεις, ἀνέσεις,
all-night-festivals with flutes and lyre delights relaxations
ἐκεχειρίας, παντοίας ἡδονὰς διὰ πάσης αἰσθήσεως.
truces of-every-kind pleasures through every sense

13 τότε οὐ πλούσιοι πενήτων προύφερον, οὐκ ἔνδοξοι ἀδόξων,
then not rich than-poor excelled not famous than-obscure
οὐ δανεισταὶ χρεωστῶν, οὐ δεσπόται δούλων περιῆσαν,
not lenders than-debtors not masters than-slaves prevailed

ἰσονομίαν τοῦ καιροῦ διδόντος, ὡς τὸν παρὰ ποιηταῖς
equality the occasion giving so-that the among poets
ἀναγραφέντα Κρονικὸν βίον μηκέτι νομίζεσθαι πλάσμα
recorded of-Cronus life no-longer to-be-thought fiction
μύθου διά τε τὴν εὐθηνίαν καὶ εὐετηρίαν τό τε ἄλυπον
of-myth through both the plenty and good-year the both painlessness
καὶ ἄφοβον καὶ τὰς πανοικίας ὁμοῦ καὶ πανδήμους μεθ'
and fearlessness and the household-wide at-once and nation-wide by
ἡμέραν τε καὶ νύκτωρ εὐφροσύνας, αἳ μέχρι μηνῶν
day both and by-night merriments which up-to months
ἑπτὰ τῶν πρώτων ἄπαυστοι καὶ συνεχεῖς ἐγένοντο.
seven the first unceasing and continuous were
τῷ δὲ ὀγδόῳ κατασκήπτει βαρεῖα νόσος τῷ Γαΐῳ τὴν 14
in-the but eighth falls-upon severe disease — Gaius the
πρὸ μικροῦ δίαιταν, ὅτε ἔζη Τιβέριος, εὐκολωτέραν καὶ διὰ
before little way-of-life when lived Tiberius simpler and for
τοῦτο ὑγιεινοτέραν οὖσαν εἰς πολυτέλειαν μεθαρμοσαμένῳ.
this healthier being into extravagance having-changed
πολὺς γὰρ ἄκρατος καὶ ὀψοφαγίαι καὶ ἐπὶ πλήρεσι
much for unmixed-wine and gourmandizings and on full
τοῖς ὄγκοις ἀπλήρωτοι ἐπιθυμίαι θερμολουσίαι τε ἄκαιροι
the masses insatiable desires hot-baths both untimely
καὶ ἔμετοι καὶ εὐθὺς πάλιν οἰνοφλυγίαι καὶ ἔφεδροι
and vomitings and at-once again drunkenness and lurking
γαστριμαργίαι, […] καὶ ὅσα ἄλλα καθαιρετικὰ ψυχῆς
gluttonies (omitted) and as-many-as other destructive of-soul
καὶ σώματος καὶ τῶν ἐν ἑκατέρῳ δεσμῶν συνεπέθετο. τὰ
and body and of-the in each bonds attacked the
δὲ ἐπίχειρα ἐγκρατείας μὲν ὑγεία καὶ ἰσχύς, ἀκρασίας
and wages of-self-control indeed health and strength of-incontinence
δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ.
but weakness and disease neighboring death

15 Διαγγελείσης οὖν τῆς ὅτι νοσεῖ φήμης, ἔτι πλοΐμων
having-been-spread then the that he-is-ill report still sailing-season
ὄντων — ἀρχὴ γὰρ ἦν μετοπώρου, τελευταῖος πλοῦς
being beginning for it-was of-late-autumn last voyage
τοῖς θαλαττεύουσιν, ἀπὸ τῶν πανταχόθεν ἐμπορίων εἰς
for-those seafaring from the everywhere trading-posts to
τοὺς οἰκείους λιμένας καὶ ὑποδρόμους ἐπανιοῦσι, καὶ
the own harbors and anchorages returning and
μάλιστα οἷς πρόνοια τοῦ μὴ διαχειμάζειν ἐπὶ ξένης
most for-whom forethought of-the not to-winter on foreign-land
ἐστί — μεθέμενοι τὸν ἁβροδίαιτον βίον ἐσκυθρώπαζον,
is having-put-off the luxurious life they-were-gloomy
συννοίας τε καὶ κατηφείας πᾶσα οἰκία καὶ πόλις γεγένητο
of-anxiety both and dejection every house and city had-become
μεστή, ἰσορρόπῳ λύπῃ τῆς πρὸ μικροῦ χαρᾶς ἀμφικλινοῦς
full with-equal grief the before little joy turned-the-scale
γενομένης.
having-become

16 τὰ γὰρ μέρη πάντα τῆς οἰκουμένης αὐτῷ συνενόσησε,
the for parts all of-the inhabited-world with-him fell-sick
βαρυτέρᾳ νόσῳ χρησάμενα τῆς κατασχούσης Γάιον·
with-heavier disease having-suffered than-the having-seized Gaius
ἐκείνη μὲν γὰρ σώματος ἦν αὐτὸ μόνον, ἡ δὲ τῶν
that indeed for of-body was itself only the but of-the
πανταχοῦ πάντων, ψυχικῆς εὐσθενείας, εἰρήνης, ἐλπίδων,
everywhere all of-soul's vigor of-peace of-hopes
μετουσίας καὶ ἀπολαύσεως ἀγαθῶν.
of-sharing and enjoyment of-goods

17 ἀνεπόλουν γὰρ ὅσα καὶ ἡλίκα κακὰ ἐξ ἀναρχίας
they-reflected for how-many and how-great evils from anarchy
φύεται· λιμόν, πόλεμον, δενδροτομίας, δῃώσεις χωρίων,
grow famine war tree-cutting ravagings of-lands

στερήσεις χρημάτων, ἀπαγωγάς, τοὺς περὶ δουλείας καὶ
deprivations of-money abductions the about slavery and
θανάτου φόβους ἀνηκέστους, ὧν ἰατρὸς ἦν οὐδείς, μίαν
death fears incurable of-which doctor was none one
ἐχόντων θεραπείαν τὸ ῥωσθῆναι Γάιον.
having remedy the to-recover Gaius
ὅτε γοῦν ἤρξατο λωφᾶν ἡ νόσος, ἐν βραχεῖ καὶ οἱ μέχρι 18
when at-least began to-abate the disease in short-time even those as-far-as
περάτων συνήσθοντο — φήμης γὰρ οὐδὲν ὠκύτερον—,
the-ends perceived-it than-rumor for nothing swifter
καὶ μετέωρος πᾶσα πόλις ἦν ἀκοῆς ἀεὶ διψῶσα
and in-suspense every city was for-hearing always thirsting
βελτίονος, ἕως διὰ τῶν ἐπιφοιτώντων παντελὴς ῥῶσις
better until through those arriving complete recovery
εὐηγγελίσθη, δι᾽ ἣν πάλιν ἐξ ὑπαρχῆς ἐπὶ τὰς αὐτὰς
was-announced through which again from beginning to the same
ἐτρέποντο θυμηδίας, ἰδίαν ἑαυτῶν νομίζουσαι σωτηρίαν
they-turned rejoicings own their thinking safety
πᾶσαι μὲν ἤπειροι πᾶσαι δὲ νῆσοι.
all indeed mainlands all and islands

II · THE DEATH OF TIBERIUS' GRANDSON

No one remembers such joy as follows his recovery, the world believing it has passed from a savage life into a settled one. But the mind is blind to its own good: Gaius soon turns on his cousin, Tiberius' grandson and co-heir, alleging a plot. He adopts him before the leading men, calling himself father and the boy son, and then forces him to kill himself; the youth, never taught to handle a sword, has to ask where to strike. Next he turns on Macro, who had shielded him from Tiberius' suspicions and vouched for his loyalty, urged on daily by his own wife, who for an unspoken reason favored the young man.

19 μέμνηται γὰρ οὐδεὶς τοσαύτην μιᾶς χώρας ἢ ἑνὸς
remembers for no-one so-great of-one country or of-one
ἔθνους γενέσθαι χαρὰν ἐπὶ σωτηρίᾳ καὶ καταστάσει
nation to-have-been joy at safety and establishment
ἡγεμόνος, ὅσην ἐπὶ Γαΐῳ συμπάσης τῆς οἰκουμένης καὶ
of-ruler as-great-as at Gaius of-all the inhabited-world both
παραλαβόντι τὴν ἀρχὴν καὶ ῥωσθέντι ἐκ τῆς ἀσθενείας.
having-taken-over the rule and having-recovered from the sickness
20 ὥσπερ γὰρ ἐκ νομάδος βίου καὶ θηριώδους νῦν πρῶτον
as for from nomadic life and bestial now first
ἀρχόμενοι μεταβάλλειν πρὸς τὸ σύννομον καὶ ὁμοδίαιτον
beginning to-change to the communal and shared-living
καὶ ἐξ ἐρημίας καὶ σηκῶν καὶ ὑπωρειῶν εἰσοικίζεσθαι
and from wilderness and folds and foothills to-be-settled
πόλεσι τειχήρεσι καὶ ἐξ ἀνεπιτροπεύτου ζωῆς ὑπὸ
in-cities walled and from unsupervised life under
ἐπιτρόπῳ τάττεσθαι νομεῖ τινι καὶ ἀγελάρχῃ τῆς
overseer to-be-placed shepherd some and herd-leader of-the
ἡμερωτέρας ἀγέλης ἐγεγήθεσαν ἀγνοίᾳ τῆς ἀληθείας·
tamer herd they-rejoiced in-ignorance of-the truth

τυφλώττει γὰρ ὁ ἀνθρώπινος νοῦς πρὸς τὴν τοῦ 21
is-blind for the human mind toward the of-the
συμφέροντος ὄντως αἴσθησιν εἰκασίᾳ καὶ στοχασμῷ
advantageous truly perception with-conjecture and guesswork
μᾶλλον ἢ ἐπιστήμῃ χρῆσθαι δυνάμενος.
rather than with-knowledge to-use being-able
Εὐθὺς γοῦν οὐκ εἰς μακρὰν ὁ σωτὴρ καὶ εὐεργέτης εἶναι 22
at-once at-least not after long the savior and benefactor to-be
νομισθεὶς καί τινας ἀγαθῶν πηγὰς νέας ἐπομβρήσειν
thought and some of-goods springs new to-be-going-to-rain-on
Ἀσίᾳ τε καὶ Εὐρώπῃ πρὸς εὐδαιμονίαν ἀκαθαίρετον,
Asia both and Europe for happiness indestructible
ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ, τὸ λεγόμενον δὴ
privately both to-each and to-all in-common the saying indeed
τοῦτο "ἀφ' ἱερᾶς" ἤρξατο μεταβαλὼν πρὸς τὸ ἀτίθασον,
this from sacred-line began having-changed to the savage
μᾶλλον δὲ ἦν συνεσκίαζεν ἀγριότητα τῷ πλάσματι
rather but which he-overshadowed savagery with-the fiction
τῆς ὑποκρίσεως ἀναφήνας.
of-the pretense having-revealed
τὸν γὰρ ἀνεψιὸν καὶ κοινωνὸν ἀπολειφθέντα τῆς ἀρχῆς καὶ 23
the for cousin and partner left of-the rule and
οἰκειότερον αὐτοῦ διάδοχον — ὁ μὲν γὰρ θέσει υἱωνὸς
more-akin than-he successor the(-one) indeed for by-adoption grandson
ἦν, ὁ δὲ φύσει Τιβερίου — κτείνει προφασισάμενος
was the(-other) and by-nature of-Tiberius he-kills having-alleged
ἐπιβουλήν, μηδὲ τῆς ἡλικίας χωρούσης ἔγκλημα τοιοῦτον·
plot not-even the age admitting charge such
ἄρτι γὰρ ἐκ παίδων εἰς μειράκιον ὁ δύστηνος μετῄει.
just for from boyhood to youth the wretched was-passing

24 καὶ ὥς γέ φασί τινες, εἰ βραχὺν ἐπεβίω χρόνον
and as at-least say some if short had-survived time
Τιβέριος, ὁ μὲν ἂν ἐκποδὼν ἐγεγένητο Γάιος, δι'
Tiberius — indeed — out-of-the-way would-have-been Gaius through
ὑποψιῶν κεχωρηκὼς ἀνηκέστων, ὁ δὲ γνήσιος υἱωνὸς
suspicions having-gone incurable the and true grandson
μόνος ἀπεδέδεικτο ἡγεμὼν καὶ κληρονόμος τῆς
alone would-have-been-appointed ruler and heir of-the
παππώας ἀρχῆς.
grandfather's rule

25 ἀλλ' ὁ μὲν ὑπὸ τῆς εἱμαρμένης ἔφθη συναρπασθείς,
but the(-one) indeed by the fate was-beforehand snatched-away
πρὶν ἐπὶ τέλος ἀγαγεῖν τὰ βουλεύματα· Γάιος δὲ τὴν ἐκ
before to end to-bring the plans Gaius but the from
τοῦ παραβαίνειν τὰ πρὸς τὸν κοινωνὸν δίκαια διαβολὴν
the to-transgress the toward the partner rights slander
ἐνόμιζεν ἀποδράσεσθαι καταστρατηγῶν.
thought to-be-going-to-escape outgeneraling

26 τὸ δὲ σόφισμα τοιοῦτον ἦν· συναγαγὼν τοὺς ἐν τέλει
the and trick such was having-gathered those in office
"βούλομαι μὲν" ἔφη "τὸν γένει μὲν ἀνεψιὸν εὐνοίᾳ δὲ
I-wish indeed he-said the by-birth indeed cousin by-goodwill and
ἀδελφόν, ἑπόμενος καὶ τῇ τοῦ τετελευτηκότος Τιβερίου
brother following also the of-the having-died Tiberius
γνώμῃ, κοινοπραγεῖν τῆς αὐτοκρατοῦς ἐξουσίας· ὁρᾶτε
judgment to-share of-the absolute power you-see
δὲ καὶ αὐτοὶ νήπιον ἔτι ὄντα κομιδῇ καὶ χρῄζοντα
but also yourselves infant still being quite and needing
ἐπιτρόπων καὶ διδασκάλων καὶ παιδαγωγῶν.
guardians and teachers and tutors

ἐπεὶ τί ἂν ἦν μεῖζον ἀγαθὸν ἢ τὰ τοσαῦτα βάρη τῆς 27
since what — would-be greater good than the so-great burdens of-the
ἡγεμονίας μὴ μίαν ψυχὴν ἢ σῶμα ἓν ἐπηχθίσθαι, ἀλλ᾽
empire not one soul or body one to-have-been-burdened but
ἔχειν τὸν δυνησόμενον ἐπελαφρίζειν καὶ συνεπικουφίζειν;
to-have the(-one) going-to-be-able to-lighten and to-help-relieve
ἐγὼ δὲ᾽᾽ ἔφη ᾽᾽παιδαγωγοὺς καὶ διδασκάλους καὶ
I but he-said tutors and teachers and
ἐπιτρόπους ὑπερβαλὼν ἐμαυτὸν μὲν ἤδη γράφω πατέρα,
guardians surpassing myself indeed already I-write father
υἱὸν δὲ ἐκεῖνον.᾽᾽
son and him
τούτοις καὶ τοὺς παρόντας ἀπατήσας καὶ τὸ μειράκιον — 28
with-these both those present having-deceived and the youth
δέλεαρ γὰρ ἦν ἡ θέσις οὐκ ἐλπιζομένης ἡγεμονίας,
bait for was the adoption not of-hoped-for empire
ἀλλ᾽ ἀφαιρέσεως ἧς εἶχεν ἤδη — τῷ συγκληρονόμῳ
but of-removal of-which he-had already to-the co-heir
καὶ κοινωνῷ δικαίῳ μετὰ πολλῆς ἀδείας οὐδενὸς ἔτι
and partner rightful with much impunity of-nothing further
πεφροντικὼς ἐπεβούλευεν. ἡ γὰρ υἱοῦ παντελὴς ἐξουσία
having-cared he-plotted the for of-son complete authority
κατὰ τοὺς τῶν Ῥωμαίων νόμους ἀνάκειται πατρί,
according-to the of-the Romans laws is-assigned to-father
δίχα τοῦ καὶ ἀνυπεύθυνον ἀρχὴν εἶναι τὴν αὐτοκράτορα,
apart-from the also unaccountable rule to-be the imperial
μηδενὸς ἐπὶ τοῖς ὁπωσοῦν πεπραγμένοις λόγον ἀπαιτεῖν
no-one for the howsoever done-things account to-demand
τολμῶντος ἢ δυναμένου.
daring or being-able

29 τοῦτον μὲν δὴ καθάπερ ἐν τοῖς ἀγῶσιν ἔφεδρον
this-one indeed indeed as in the contests reserve
ὑπολαβὼν εἶναι καταπαλαίει, μήτε συντροφίας μήτε
having-supposed to-be he-throws not of-upbringing nor
οἰκειότητος μήτε ἡλικίας οἶκτον λαβών, δύστηνον,
of-kinship nor of-age pity having-taken wretched
ὠκύμορον, συνάρχοντα, συγκληρονόμον, τὸν ἐλπισθέντα
short-lived co-ruler co-heir the(-one) hoped
ποτὲ καὶ μόνον αὐτοκράτορα διὰ τὴν πρὸς Τιβέριον
once even sole emperor because-of the toward Tiberius
ἐγγυτάτω συγγένειαν· υἱωνοὶ γὰρ πατέρων ἀποθανόντων
nearest kinship grandsons for fathers having-died
ἐν υἱῶν τάξει παρὰ πάπποις καταριθμοῦνται.
in sons' rank with grandfathers are-counted

30 λέγεται δὲ ὅτι καὶ κελευσθεὶς αὐτοχειρίᾳ κτείνειν
it-is-said and that also having-been-bidden with-his-own-hand to-kill
ἑαυτόν, ἐφεστώτων ἑκατοντάρχου καὶ χιλιάρχου, οἷς
himself standing-by centurion and tribune to-whom
εἴρητο μὴ συνεφάψασθαι τοῦ ἄγους, ὡς οὐκ ἐξὸν
had-been-said not to-take-part of-the pollution as not permitted
αὐτοκρατόρων ἀπογόνους πρὸς ἑτέρων ἀναιρεῖσθαι —
of-emperors descendants by others to-be-killed
νόμων γὰρ ἐν ἀνομίαις καὶ ὁσιότητος ἐν ἀνοσιουργίαις
of-laws for amid lawlessness and of-holiness amid impieties
ἐμέμνητο κατειρωνευόμενος τὴν φύσιν τῆς ἀληθείας—,
he-made-mention mocking the nature of-the truth
ἀπείρως ἔχων — οὐδὲ γὰρ ἕτερόν τινα κτεινόμενον
inexperienced being nor for other anyone being-killed
εἶδεν οὐδὲ ἤσκητό πω ταῖς ὁπλομαχίαις, αἷ μελέται
had-he-seen nor had-been-trained yet in-the arms-exercises which practices
καὶ προγυμνάσματα παίδων ἐφ' ἡγεμονίᾳ τρεφομένων εἰσὶ
and preliminary-exercises of-boys for empire reared are

διὰ τοὺς ἐνισταμένους πολέμους — τὸ μὲν πρῶτον
because-of the impending wars the indeed first
τοὺς ἥκοντας παρεκάλει τὸν αὐχένα προτείνας ἀνελεῖν.
those having-come he-called-on the neck having-stretched-out to-kill-him
ὡς δ' οὐχ ὑπέμενον, αὐτὸς λαβὼν τὸ ξίφος ἐπυνθάνετο 31
when but not they-endured himself having-taken the sword he-asked-about
τὸν καιριώτατον τόπον ὑπ' ἀγνοίας καὶ ἀηθείας, ἵνα
the most-fatal place through ignorance and inexperience so-that
εὐσκόπῳ πληγῇ τὴν ἀθλίαν ζωὴν ἀπορρήξῃ. καὶ οἱ
with-well-aimed blow the wretched life he-might-break-off and they
μὲν οἷα διδάσκαλοι κακοδαιμονίας ὑφηγοῦντό τε καὶ
indeed as teachers of-misery guided both and
ἐδείκνυσαν τὸ μέρος, ᾧ χρὴ τὸ ξίφος ἐπενεγκεῖν· ὁ
showed the part where one-must the sword to-bring-against he
δὲ πρώτην καὶ ὑστάτην μάθησιν ἀναδιδαχθεὶς ἀνδροφόνος
and first and last lesson having-been-taught murderer
αὐτὸς αὑτοῦ γίνεται βιασθείς, ὁ δύστηνος.
himself of-himself becomes forced the wretched
Ἐπεὶ δὲ ὁ πρῶτος καὶ μέγιστος ἆθλος οὗτος Γαΐῳ 32
when and the first and greatest feat this by-Gaius
κατείργαστο, μηδενὸς ἔτι λειπομένου κοινωνοῦ τῆς
had-been-accomplished no-one still left partner of-the
ἡγεμονίας πρὸς ὃν ἀποκλινοῦσί τινες τῶν ἐθελοκακούντων
empire toward whom will-incline some of-those willfully-disaffected
καὶ ἐν ὑποψίαις ὄντων, ἐπὶ δεύτερον εὐθὺς ἐκονίετο
and in suspicions being to second at-once he-dusted-himself-for
τὸν Μάκρωνος, ἀνδρὸς εἰς πάντα αὐτῷ συναγωνισαμένου
the of-Macro man in all-things with-him having-striven-along
τὰ τῆς ἀρχῆς, οὐ μόνον ἀποδειχθέντι ἡγεμόνι —
the-things of-the rule not only appointed ruler

κολακείας γὰρ ἴδιον τὰς εὐπραγίας θεραπεύειν — ἀλλὰ
of-flattery for peculiar the prosperities to-court but
καὶ πρότερον εἰς τὸ τυχεῖν τῆς ἡγεμονίας.
also before for the to-obtain the empire

33 ὁ γὰρ Τιβέριος φρονήσει βαθείᾳ χρώμενος καὶ τῶν
— for Tiberius wisdom deep using and of-the
κατ᾽ αὐτὸν ἁπάντων δεινότατος ὢν ἀφανὲς ἀνθρώπου
in his-time all cleverest being hidden of-man
βούλημα συνιδεῖν καὶ ἐπὶ τοσοῦτον συνέσει διενεγκών, ἐφ᾽
intention to-perceive and to so-much in-intelligence having-excelled to
ὅσον καὶ εὐτυχίᾳ, πολλάκις ὑπεβλέπετο τὸν Γάιον ὡς
as-much also in-good-fortune often looked-askance-at — Gaius as
κακόνουν μὲν ἅπαντι τῷ Κλαυδίων οἴκῳ, προσκείμενον
ill-disposed indeed to-all the of-Claudii house attached
δὲ μόνῳ τῷ μητρῴῳ γένει — καὶ ἐδεδίει περὶ τοῦ
but only to-the mother's family and feared for the
υἱωνοῦ, μὴ νέος ἀπολειφθεὶς παραπόληται—,
grandson lest young left-behind he-perish

34 πρὸς δὲ ἀρχὴν καὶ τοσαύτην ἀνεπιτηδείως ἔχοντα διά
for and rule even so-great unfitly being through
τε τὸ τῆς φύσεως ἄμικτον καὶ ἀκοινώνητον καὶ τὴν
both the of-the nature unsociable and unfriendly and the
τῶν ἠθῶν ἀνωμαλίαν· ἀλλόκοτα γὰρ αὐτῷ καὶ ἐπιμανῆ
of-the character inconsistency strange for in-him and frenzied-things
κατεφαίνετο, μηδεμιᾶς σῳζομένης ἀκολουθίας, μήτε ἐν
appeared no being-preserved consistency neither in
λόγοις μήτε ἐν ἔργοις.
words nor in deeds

35 ἃ παντὶ σθένει κατὰ τὸ παρεῖκον ὁ Μάκρων ἐθεράπευε,
which with-all strength as-far-as the possible — Macro tended
τὰς μὲν ὑπονοίας τοῦ Τιβερίου καὶ ἐν οἷς μάλιστ᾽ ἐδόκει

τὴν διάνοιαν ἑλκοῦσθαι διὰ τὸν ἄληκτον ἐπὶ τῷ υἱωνῷ
the mind to-be-ulcerated because-of the incessant for the grandson
φόβον ἐξιώμενος.
fear curing

εὔνουν γὰρ καὶ πειθαρχικὸν ἀπέφαινε τὸν Γάιον καὶ 36
well-disposed for and obedient he-showed — Gaius and
σφόδρα ἡττημένον τοῦ ἀνεψιοῦ, ὡς ἕνεκα φιλοστοργίας
very overcome by-the cousin as for-the-sake of-affection
καὶ μόνῳ ἂν ἐθελῆσαι τῆς ἀρχῆς ὑπεκστῆναι· τὴν δὲ
also for-him-alone — to-wish of-the rule to-withdraw the and
αἰδῶ μὴ λυσιτελῆσαι πολλοῖς, ὑφ' ἧς καὶ Γάιον ἁπλοῦν
modesty not to-have-profited many by which also Gaius simple
ὄντα ποικίλον νομίζεσθαι.
being cunning to-be-thought

καὶ ὁπότε μὴ πείθοι τὰ εἰκότα διεξιών, τὴν ἀπὸ 37
and whenever not he-persuaded the likely-things going-through the from
συνθηκῶν πίστιν ἐπέφερεν, "ἐγγυῶμαι" λέγων, "ἀξιόχρεώς
compacts pledge he-added I-guarantee saying trustworthy
εἰμι πρὸς πίστιν· ἱκανὰς ἀποδείξεις δέδωκα τοῦ φιλόκαισαρ
I-am for trust sufficient proofs I-have-given of-the Caesar-loving
ἰδίως καὶ φιλοτιβέριος εἶναι, τὴν ἐπίθεσιν καὶ καθαίρεσιν
especially and Tiberius-loving to-be the attack and overthrow
ἐγχειρισθεὶς Σηιανοῦ."
having-been-entrusted-with of-Sejanus

καὶ συνόλως δὲ ἱκανὸς ἦν ἐν τοῖς εἰς Γάιον ἐπαίνοις, 38
also altogether and able he-was in the toward Gaius praises
εἰ δεῖ καλεῖν ἀξίως ἐπαίνους τὰς ἀπολογίας, αἳ
if it-is-needful to-call worthily praises the defenses which
πρὸς τὰς ἐξ ὑπονοιῶν αἰτίας καὶ κατηγορίας ἀδήλους
against the from suspicions charges and accusations obscure
καὶ ἀσαφεῖς ἐγίνοντο· συνόλως γὰρ ὅσα περὶ ἀδελφῶν
and unclear arose altogether for as-many-as about brothers

εἴποι τις ἂν ἢ υἱῶν γνησίων ἐγκώμια, τοσαῦτα καὶ
would-say anyone — or sons true encomia so-many and
ἔτι πλείω Μάκρων ὑπὲρ Γαΐου διεξῄει πρὸς Τιβέριον.
still more Macro for Gaius went-through to Tiberius
39 αἴτιον δέ, ὡς ὁ τῶν πολλῶν λόγος, οὐ μόνον τὸ
cause but as the of-the many account not only the
ἀντιθεραπεύεσθαι πρὸς αὐτοῦ τὸν Μάκρωνα, πλεῖστον ἢ καὶ
to-be-courted-in-return by him — Macro most or even
σύμπαν ἐν τῇ ἡγεμονίᾳ δυνάμενον, ἀλλὰ καὶ ἡ Μάκρωνος
all in the empire being-able but also the of-Macro
γυνὴ διὰ σιωπωμένην αἰτίαν, ἣ καθ' ἑκάστην ἡμέραν
wife through unspoken cause who on each day
ἤλειφε καὶ συνεκρότει τὸν ἄνδρα μηδὲν ἀνιέναι σπουδῆς
spurred and urged-on the husband in-nothing to-slacken of-zeal
καὶ βοηθείας τῆς ὑπὲρ τοῦ νεανίσκου. δεινὸν δὲ γυνὴ
and help the for the young-man terrible and woman
γνώμην ἀνδρὸς παραλῦσαι καὶ παραγαγεῖν, καὶ μάλιστα
judgment of-husband to-loosen and to-lead-astray and most
μαχλάς· ἕνεκα γὰρ τοῦ συνειδότος κολακικωτέρα γίνεται.
a-lewd-one because-of for of-the guilty-knowledge more-flattering she-becomes

Macro, unaware of his own household's corruption, keeps counseling Gaius frankly: waking him at banquets, whispering that the ruler of land and sea should not be mastered by songs, dances, and jests, and urging that the art of ruling is the greatest of all, since the ruler steers the ship of state. Gaius, contentious and quarrelsome, mocks him to his companions as the tutor of a man no longer a boy, boasting that he was born to rule. He begins to estrange himself, spreading plausible lies that Macro claims to have made him emperor, and in the end Macro is forced to kill himself, and his wife shares his fate.

ὁ δὲ τὴν διαφθορὰν μὲν τοῦ γάμου καὶ τῆς οἰκίας 40
he but the corruption indeed of-the marriage and of-the house
ἀγνοῶν, τὴν δὲ κολακείαν εὔνοιαν ἀκραιφνεστάτην εἶναι
not-knowing the but flattery goodwill purest to-be
νομίζων, ἀπατᾶται καὶ λανθάνει τοῖς στρατηγήμασι τοὺς
thinking is-deceived and fails-to-notice by-the stratagems the
ἐχθίστους ὡς φιλτάτους προσιέμενος.
most-hateful as dearest admitting
Εἰδὼς οὖν, ὅτι παρὰ μικρὸν ἐλθόντα μυριάκις αὐτὸν 41
knowing then that by little having-come ten-thousand-times him
ἀπολέσθαι διέσωσεν, ἀνυπούλοις καὶ πεπαρρησιασμέναις
to-perish he-saved unguarded and frank
ἐχρῆτο ταῖς νουθεσίαις· ἐβούλετο γάρ, ὡς ἀγαθὸς
he-used the admonitions he-wished for as good
δημιουργός, ἀκαθαίρετον διαμεῖναι τὸ οἰκεῖον ἔργον, μήτε
craftsman indestructible to-remain the own work neither
ὑπ᾽ αὐτοῦ διαλυθὲν μήτε ὑφ᾽ ἑτέρου.
by himself dissolved nor by another
ὁπότε οὖν ἢ καταδαρθόντα ἐν συμποσίῳ θεάσαιτο, 42
whenever then either having-fallen-asleep at banquet he-saw-him
περιανίστη στοχαζόμενος ἅμα μὲν τοῦ πρέποντος
he-roused-him aiming at-once indeed at-the fitting

ἅμα δὲ καὶ τῆς ἀσφαλείας — εὐεπιβούλευτον γὰρ ὁ
at-once and also at-the safety easy-to-plot-against for the
κοιμώμενος—, ἤ τινας ἐκμανῶς ὀρχηστὰς ὁρῶντα ἢ ἔστιν
sleeping or some frenziedly dancers watching or it-is
ὅτε συνορχούμενον ἢ ἐπὶ μίμοις αἰσχρῶν καὶ σκωμμάτων
when dancing-with-them or at mimes of-shameful-things and jests
μὴ ὑπομειδιῶντα σεμνότερον ἀλλὰ μειρακιωδέστερον
not smiling more-solemnly but more-boyishly
καγχάζοντα ἢ κιθαρῳδῶν ἢ χορῶν τῆς ἐμμελείας
guffawing or of-lyre-singers or of-choruses by-the melody
ἡττώμενον, ἔστιν ὅπου καὶ συνᾴδοντα, ἔνυττε πλησίον
overcome it-is where even singing-along he-nudged-him near
καθεζόμενος ἢ κατακεκλιμένος καὶ ἐπέχειν ἐπειρᾶτο.
sitting or reclining and to-restrain-him tried
43 πολλάκις δὲ καὶ ἐπικλίνας πρὸς οὖς, ἵνα μὴ κατακούοι
often and also having-leaned to ear so-that not might-overhear
τις ἕτερος, ἡσυχῇ καὶ πράως ἐνουθέτει φάσκων· "οὐδενὶ
any other quietly and gently he-admonished saying to-none
τῶν παρόντων ἀλλ' οὐδὲ τῶν ἄλλων ἀνθρώπων ὅμοιον
of-those present but not-even of-the other men like
εἶναί σε δεῖ, οὔτε ἐν θεάμασιν οὔτε ἐν ἀκούσμασιν
to-be you it-is-needful neither in sights nor in things-heard
οὔτε ἐν τοῖς ἄλλοις ἅπασιν ὅσα κατὰ τὰς αἰσθήσεις,
nor in the other all as-many-as through the senses
ἀλλὰ προφέρειν ἐπὶ τοσοῦτον ἐν ἑκάστῳ τῶν περὶ
but to-excel to so-much in each of-the-things about
τὸν βίον, ἐφ' ὅσον καὶ ταῖς εὐτυχίαις διενήνοχας.
the life to as-much also in-the good-fortunes you-have-excelled
44 ἄτοπον γὰρ τὸν ἡγεμόνα γῆς καὶ θαλάττης νικᾶσθαι
absurd for the ruler of-land and sea to-be-overcome
πρὸς ᾠδῆς ἢ ὀρχήσεως ἢ χλευαστικοῦ σκώμματος ἤ τινος
by song or dance or mocking jest or some

τῶν ὁμοιοτρόπων, ἀλλὰ μὴ ἀεὶ καὶ πανταχοῦ μεμνῆσθαι
of-the like-things but not always and everywhere to-remember
τῆς ἡγεμονίας, καθάπερ ποιμένα τινὰ καὶ ἐπιστάτην
the empire like shepherd some and overseer
ἀγέλης, τὰ πρὸς βελτίωσιν ἀπὸ παντὸς οὑτινοσοῦν
of-herd the-things for improvement from every whatever
ἐφ' ἑαυτὸν ἕλκοντα καὶ λόγου καὶ πράγματος."
to himself drawing both word and deed
εἶτα ἔφασκεν· "ὅταν παρατυγχάνῃς σκηνικοῖς ἀγῶσιν ἢ 45
then he-said whenever you-are-present-at stage contests or
γυμνικοῖς ἢ τοῖς κατὰ τὰς ἱπποδρομίας, μὴ σκόπει τὰ
athletic or the at the horse-races not consider the
ἐπιτηδεύματα, ἀλλὰ τὴν ἐν τοῖς ἐπιτηδεύμασι κατόρθωσιν,
pursuits but the in the pursuits success
καὶ λάμβανε τὸν τοιοῦτον λογισμόν·
and take the such reckoning
εἰ τὰ μηδὲν ὠφελοῦντα τὸν ἀνθρώπινον βίον, τέρψιν 46
if the-things in-nothing benefiting the human life delight
δὲ καὶ ἡδονὴν αὐτὸ μόνον παρέχοντα θεαταῖς, ἐκπονοῦσιν
but and pleasure itself only providing to-spectators labor-at
οὕτω τινές, ὡς ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι καὶ γέρα
so some as to-be-praised both and to-be-admired and prizes
καὶ τιμὰς καὶ στεφάνους μετὰ κηρυγμάτων λαμβάνειν,
and honors and crowns with proclamations to-receive
τί χρὴ πράττειν τὸν τῆς ἀνωτάτω καὶ μεγίστης
what is-it-needful to-do the(-one) of-the highest and greatest
τέχνης ἐπιστήμονα;
art knowing
μεγίστη δὲ καὶ ἀρίστη τέχνη πασῶν ἐστιν ἡ ἡγεμονία, 47
greatest and and best art of-all is the empire
δι' ἧς πᾶσα μὲν ἡ ἀγαθὴ καὶ βαθεῖα πεδιάς τε
through which all indeed the good and deep plain both

καὶ ὀρεινὴ γεωργεῖται, πᾶσα δὲ θάλαττα φορτηγοῖς
and mountainous is-farmed all and sea by-cargo
ὁλκάσιν ἀκινδύνως διαπλεῖται κατὰ τὰς ἀντιδόσεις
merchantmen safely is-sailed-through according-to the exchanges
ὧν ἀλλήλαις ἀγαθῶν ἀντεκτίνουσιν αἱ χῶραι κοινωνίας
of-which to-one-another goods pay-back the countries of-fellowship
ἱμέρῳ, τὰ μὲν ἐνδέοντα λαμβάνουσαι, ὧν δ'
by-longing the(-things) indeed lacking receiving of-which and
ἄγουσι περιουσίαν ἀντιπέμπουσαι.
they-bring surplus sending-back

48 φθόνος γὰρ οὐδέποτε πᾶσαν τὴν οἰκουμένην ἐκράτησεν,
envy for never all the inhabited-world mastered
ἀλλ' οὐδὲ τὰς μεγάλας αὐτῆς ἀποτομάς, ὅλην Εὐρώπην
but not-even the great its portions whole Europe
ἢ ὅλην Ἀσίαν· ἀλλ' ἰοβόλου τρόπον ἑρπετοῦ φωλεύει
or whole Asia but of-venomous like reptile it-lurks
βραχέσιν εἰσερπύσας χωρίοις ἀνδρὶ ἑνὶ ἢ οἴκῳ ἑνὶ ἤ, εἴ
into-small having-crept places man one or house one or if
ποτε πολὺς ἄγαν πνέοι, πόλει μιᾷ· πρὸς δὲ μείζονα
ever strong exceedingly it-blows city one to but greater
κύκλον ἔθνους ἢ χώρας οὐ πρόσεισι, καὶ μάλιστα ἀφ'
circle of-nation or of-country not it-approaches and most from
οὗ τὸ ὑμέτερον γένος τὸ Σεβαστὸν ὄντως ἤρξατο
which the your house the Augustan truly began
πρυτανεύειν τῶν πανταχοῦ πάντων.
to-preside-over of-the everywhere all

49 ὅσα μὲν γὰρ εὐημέρει τῶν βλαβερῶν καὶ ἐν μέσοις
as-many-as indeed for flourished of-the harmful and in middle
ἐξητάζετο, πρὸς ἐσχατιὰς ὑπερόρια καὶ Ταρτάρου
were-found to extremities beyond-the-borders and of-Tartarus
μυχοὺς ἤλασε, τὰ δὲ τρόπον τινὰ φυγαδευθέντα τῶν
recesses it-drove the but in-a-way some exiled of-the

λυσιτελῶν καὶ ὠφελίμων κατήγαγεν ἀπὸ περάτων γῆς
profitable and useful it-brought-back from ends of-land
καὶ θαλάττης εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην· ἃ
and sea into the according-to us inhabited-world which
πάντα μιᾷ χειρὶ σῇ κυβερνᾶν ἐπιτέτραπται.
all by-one hand your to-steer has-been-entrusted
παραπεμφθεὶς γοῦν ὑπὸ τῆς φύσεως ἐπὶ πρύμναν ἀνωτάτω 50
having-been-sent at-least by the nature to stern highest
καὶ τοὺς οἴακας ἐγχειρισθεὶς πηδαλιούχει τὸ κοινὸν
and the tillers having-been-entrusted-with steer the common
ἀνθρώπων σκάφος σωτηρίως, ἐπὶ μηδενὶ μᾶλλον χαίρων
of-men vessel safely at nothing more rejoicing
καὶ τερπόμενος ἢ τῷ τοὺς ὑπηκόους εὐεργετεῖν.
and delighting than in-the the subjects to-benefit
ἄλλοι μὲν γὰρ ἄλλων ἔρανοι, οὓς ἀναγκαίως εἰσφέρουσιν 51
others indeed for of-others contributions which necessarily contribute
ἰδιῶται κατὰ πόλεις· ἄρχοντι δὲ οἰκειότατος ἔρανος, βουλὰς
private-men in cities for-ruler but most-proper contribution counsels
ἀγαθὰς εἰσηγεῖσθαι περὶ τῶν ὑποτεταγμένων καὶ πράττειν
good to-propose about those subject and to-do
τὰ βουλευθέντα ὀρθῶς καὶ ἀταμίευτα προφέρειν τὰ
the-things resolved rightly and unstinted to-offer the
ἀγαθὰ πλουσίᾳ χειρὶ καὶ γνώμῃ, πλὴν ὅσα κατὰ πρόνοιαν
goods with-rich hand and mind except as-many-as for forethought
τῆς εἰς τὸ μέλλον ἀδηλότητος ἄξιον παραφυλάττειν."
of-the toward the future uncertainty worth to-guard
Τοιούτοις κατεπῇδεν ὁ δυστυχής, ὥστε βελτιῶσαι τὸν 52
with-such-things charmed the unfortunate so-as to-improve —
Γάιον. ὁ δὲ φίλερις καὶ φιλόνεικος ὢν ἐπὶ τἀναντία τὴν
Gaius he but contentious and quarrelsome being to the-opposite the
διάνοιαν ἔτρεπεν, ὥσπερ εἰς ἐκεῖνα παρακληθείς, καὶ τὸν
mind turned as-if to those having-been-exhorted and the

σωφρονιστὴν ἄντικρυς ἀπεθάρρει δυσωπεῖν, ἔστι
chastener openly he-dared to-put-out-of-countenance it-is
δὲ ὅτε καὶ πόρρωθεν ἀφικνούμενον ὁρῶν πρὸς τοὺς
and when also from-afar arriving seeing-him to those
πλησίον ταυτὶ διελάλει·
near these-things he-chattered

53 "πάρεστιν ὁ διδάσκαλος τοῦ μηκέτι μανθάνειν
is-present the teacher of-the(-one) no-longer to-learn
ὀφείλοντος, ὁ παιδαγωγὸς τοῦ μηκέτι παιδὸς ὄντος, ὁ
owing the tutor of-the(-one) no-longer child being the
νουθετητὴς τοῦ φρονιμωτέρου, ὁ τὸν αὐτοκράτορα
admonisher of-the(-one) wiser the(-one) the emperor
τῷ ὑπηκόῳ πειθαρχεῖν ἀξιῶν, ἐθάδα τῆς ἡγεμονικῆς
to-the subject to-obey deeming habituated of-the imperial
ἐπιστήμης καὶ παιδευτὴν ἑαυτὸν γράφει, παρὰ τίνι
knowledge and educator himself he-writes from whom
μαθὼν τὰ ἀρχικὰ ἔγωγε οὐκ οἶδα.
having-learned the arts-of-rule I-at-least not know

54 ἐμοὶ μὲν γὰρ ἐξ ἔτι σπαργάνων μυρίοι διδάσκαλοι
for-me indeed for from still swaddling-clothes countless teachers
γεγόνασι, πατέρες, ἀδελφοί, θεῖοι, ἀνεψιοί, πάπποι,
have-been fathers brothers uncles cousins grandfathers
πρόγονοι μέχρι τῶν ἀρχηγετῶν, οἱ ἀφ' αἵματος πάντες
ancestors up-to the founders those from blood all
καθ' ἑκάτερον γένος τό τε πατρῷον καὶ μητρῷον,
on each side the both paternal and maternal
αὐτοκρατεῖς ἐξουσίας περιποιησάμενοι, χωρὶς τοῦ κἂν
absolute powers having-acquired apart-from the also-in
ταῖς πρώταις τῶν σπερμάτων καταβολαῖς εἶναί τινας
the first of-the seeds sowings to-be some
δυνάμεις βασιλικὰς τῶν ἡγεμονικῶν.
powers kingly of-the ruling

ὡς γὰρ αἱ τοῦ σώματος καὶ τῆς ψυχῆς ὁμοιότητες κατά 55
as for the of-the body and of-the soul likenesses in
τε τὴν μορφὴν καὶ σχέσεις καὶ κινήσεις βουλάς τε καὶ
both the shape and postures and movements counsels both and
πράξεις ἐν τοῖς σπερματικοῖς σῴζονται λόγοις, οὕτως
actions in the seminal are-preserved principles so
εἰκὸς ἐν τοῖς αὐτοῖς ὑπογράφεσθαι τυπωδέστερον καὶ τὴν
likely in the same to-be-outlined more-in-outline also the
πρὸς ἡγεμονίαν ἐμφέρειαν.
toward empire resemblance
εἶτα ἐμὲ τὸν καὶ πρὸ τῆς γενέσεως ἔτι κατὰ γαστρὸς 56
then me the(-one) even before the birth still in womb
ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διαπλασθέντα αὐτοκράτορα
in the of-the nature workshop molded emperor
τολμᾷ τις διδάσκειν, ἀνεπιστήμων ἐπιστήμονα; ποῦ γὰρ
dares anyone to-teach unknowing knowing where for
τοῖς ἰδιώταις πρὸ μικροῦ θέμις εἰς ἡγεμονικῆς ψυχῆς
to-the private-men before little lawful into of-imperial soul
παρακύψαι βουλεύματα; τολμῶσι δὲ ὑπ᾽ ἀναισχύντου
to-peep counsels they-dare but through shameless
θράσους ἱεροφαντεῖν καὶ τελεῖν τὰ ἡγεμονικὰ μόλις ἂν
boldness to-be-hierophant and to-initiate the imperial-things hardly —
ἐν μύσταις ἀναγραφέντες.”
among initiates having-been-enrolled
ἐκ δὲ τοῦ κατ᾽ ὀλίγον μελετῶν ἀλλοτριοῦσθαι τοῦ 57
from and the by little practicing to-be-estranged —
Μάκρωνος ἤρχετο καὶ ψευδεῖς μὲν πιθανὰς δὲ καὶ
from-Macro he-began and false indeed plausible but and
εὐπαραγώγους κατ᾽ αὐτοῦ πλάττειν αἰτίας· δειναὶ γὰρ
easily-misleading against him to-fabricate charges clever for
αἱ εὔθικτοι καὶ μεγάλαι φύσεις εἰκοτολογῆσαι.
the quick and great natures to-argue-from-likelihood

58 τοιαῦται δὲ ἦσαν αἱ προφάσεις· "ἐμόν ἐστι τοῦ Μάκρωνος
such and were the pretexts mine is — of-Macro
ἔργον Γάιος· μᾶλλον αὐτὸν ἢ οὐχ ἧττον τῶν γονέων
work Gaius more him or not less than-the parents
γεγέννηκα· τρίς, οὐχ ἅπαξ, ἀνήρπαστο ἂν
I-have-begotten thrice not once he-would-have-been-snatched-away —
ἐπ' αὐτῷ Τιβερίου φονῶντος, εἰ μὴ δι' ἐμὲ καὶ
on-account-of him Tiberius bent-on-murder if not through me and
τὰς ἐμὰς παρηγορίας· ἀλλὰ καὶ τελευτήσαντος ἔχων
the my consolations but also having-died having
ὑπηκόους τὰς στρατιωτικὰς δυνάμεις εὐθὺς εἰς τὴν ἐκείνου
subject the military forces at-once into the his
παρέπεμψα τάξιν, ἀναδιδάσκων ὅτι ἀνδρὸς ἑνὸς γέγονεν
I-conducted rank teaching that of-man one has-been
ἔνδεια· μένει δὲ ἄρτιος καὶ πλήρης ἡ ἡγεμονία."
lack remains but complete and full the empire

59 τούτοις συνεπείθοντό τινες ὡς ἀψευδέσιν ἀγνοοῦντες
with-these were-persuaded some as unlying not-knowing
τὸν φένακα τρόπον τοῦ λέγοντος· οὔπω γὰρ ἦν τὸ
the deceitful character of-the speaker not-yet for was the
πεπλασμένον αὐτοῦ καὶ ποικίλον τῶν ἠθῶν ἐμφανές.
fabricated his and cunning of-the character evident
ἀλλὰ γὰρ οὐ πολλαῖς ὕστερον ἡμέραις ἐκποδὼν ὁ
but for not many later days out-of-the-way the
κακοδαίμων γίνεται σὺν τῇ γυναικί, τῆς περιττῆς εὐνοίας
wretched becomes with the wife of-the excessive goodwill
ἀμοιβὰς τὰς ἀνωτάτω τιμωρίας ἀντιλαβών.
returns the highest punishments having-received

60 τοιοῦτόν ἐστιν ἡ εἰς τοὺς ἀχαρίστους χάρις· ἀντὶ
such is the toward the ungrateful favor instead-of
γὰρ ὧν ὠφελήθησαν, παρέχουσι τὰς μεγίστας ζημίας
for what they-were-benefited they-give the greatest damages

τοῖς εὐεργετήσασιν. ὁ γοῦν Μάκρων πάντα ἐπ᾽
to-those having-benefited — at-least Macro all-things in
ἀληθείας πραγματευσάμενος μετ᾽ ἐκτενεστάτης σπουδῆς
truth having-done with most-strenuous zeal
καὶ φιλοτιμίας, τὸ μὲν πρῶτον ὑπὲρ τοῦ σῶσαι Γάιον,
and ambition the indeed first for the to-save Gaius
ἔπειτα δὲ ὑπὲρ τοῦ μόνον τὴν ἡγεμονίαν διαδέξασθαι,
then and for the alone the empire to-succeed-to
τοιαῦτα εὕρατο τὰ ἐπίχειρα.
such found the wages
λέγεται γάρ, ὅτι ἠναγκάσθη ὁ δείλαιος αὐτοχειρίᾳ 61
it-is-said for that was-compelled the wretched with-his-own-hand
κτεῖναι ἑαυτὸν καὶ τὴν αὐτὴν ἀνεδέξατο συμφορὰν ἡ
to-kill himself and the same received misfortune the
γυνή, καίτοι ποτὲ νομισθεῖσα διὰ συνηθείας αὐτῷ
wife and-yet once thought through intimacy with-him
γενέσθαι· βέβαιον δὲ οὐδέν φασι τῶν ἐν ἔρωτι φίλτρων
to-have-been firm but nothing they-say of-the in love charms
εἶναι διὰ τὸ τοῦ πάθους ἀψίκορον.
to-be because-of the of-the passion quickly-sated

IV · SILANUS, AND THE FLATTERERS' EXCUSES

With Macro's house destroyed, Gaius turns on his father-in-law Marcus Silanus, whose advice he takes as insolence, and has him treacherously killed. The murders of the first men become notorious, and the fickle crowd invents excuses: rule cannot be shared, so Tiberius' grandson was rightly removed; Macro had forgotten the Delphic "know thyself"; Silanus foolishly thought a father-in-law had power over a son-in-law. Having thus overcome the senate, the knights, and his own family, Gaius begins to think himself more than a man, likening himself first to the demigods Dionysus, Heracles, and the Dioscuri and putting on their emblems by turns, as if in a theater.

62 Ἐπειδὴ δὲ καὶ ὁ Μάκρων πανοίκιος ἱέρευτο,
when and also — Macro with-all-his-household had-been-sacrificed
τρίτῳ ἐπαπεδύετο δόλῳ βαρυτέρῳ. πενθερὸς ἐγεγένητο
to-a-third he-stripped-for trick heavier father-in-law had-become
αὐτῷ Μάρκος Σιλανός, μεστὸς φρονήματος ἀνὴρ καὶ γένει
to-him Marcus Silanus full of-spirit man and in-birth
λαμπρός. οὗτος ὠκυμόρου τῆς θυγατρὸς ἀποθανούσης ἔτι
brilliant he short-lived the daughter having-died still
περιεῖπε τὸν Γάιον, εὔνοιαν προσφερόμενος οὐ πενθεροῦ
attended-to — Gaius goodwill bringing not of-father-in-law
μᾶλλον ἢ γνησίου πατρός, ἧς ἐνόμιζεν ἀντιλήψεσθαι
rather than of-true father which he-thought to-be-going-to-receive-in-return
κατὰ νόμον ἰσότητος μεθαρμοσάμενος τὸν γαμβρὸν εἰς
by law of-equality having-changed the son-in-law into
υἱόν. ἐλελήθει δὲ ἄρα ψευδοδοξῶν καὶ ἀπατώμενος.
son he-had-failed-to-notice but then holding-false-opinion and being-deceived
63 ὁ μὲν γὰρ τοὺς τοῦ κηδεμόνος λόγους ἀεὶ διεξῄει
he indeed for the of-the guardian words always went-through
μηδὲν ἐπικρυπτόμενος τῶν εἰς βελτίωσιν καὶ ὠφέλειαν
in-nothing concealing of-the-things for improvement and benefit

ἠθῶν καὶ βίου καὶ ἡγεμονίας, ἔχων εἰς παρρησίαν καὶ
of-character and of-life and of-empire having for frankness also
μεγάλας ἀφορμὰς ὑπερβάλλουσάν τε εὐγένειαν καὶ τὴν
great grounds surpassing both nobility and the
κατ᾽ ἐπιγαμίαν οἰκειότητα· καὶ γὰρ ἡ θυγάτηρ οὐ πρὸ
by marriage kinship and for the daughter not before
πολλῶν ἐτεθνήκει χρόνων, ὡς ἀμαυρωθῆναι τὰ δίκαια
many had-died times so-that to-be-dimmed the rights
τῶν κηδεστῶν, ἀλλὰ μόνον οὐκ ἤσπαιρεν, ἔτι λειψάνων
of-the in-laws but only not it-gasped still of-remnants
τινῶν ὑστάτων τοῦ ψυχικοῦ πνεύματος ἐνυπαρχόντων καὶ
some last of-the soul's breath being-present and
ἐγκατειλημμένων τῷ σώματι.
caught-in the body
ὁ δὲ πρὸς ὕβρεως τὰς νουθεσίας λαμβάνων τῷ 64
he but as insolence the admonitions taking by-the
πάντων οἴεσθαι φρονιμώτατος καὶ σωφρονέστατος ἔτι δὲ
of-all to-think most-sensible and most-temperate still and
ἀνδρειότατος εἶναι καὶ δικαιότατος ἤχθαιρε μᾶλλον τῶν
bravest to-be and most-just hated more than-the
ὁμολογουμένων πολεμίων τοὺς διδάσκοντας.
acknowledged enemies those teaching-him
ὑπολαβὼν οὖν καὶ τοῦτον εἶναι παρενόχλημα, τὴν πολλὴν 65
having-supposed then also this-one to-be nuisance the great
αὐτοῦ ῥύμην τῶν ἐπιθυμιῶν ἐφέξοντα, πολλὰ χαίρειν
his rush of-the desires going-to-check many farewells
φράσας τοῖς δαίμοσι τῆς ἀποθανούσης γυναικός, εἰ
having-bidden to-the spirits of-the dead wife if
πατέρα μὲν ἐκείνης ἑαυτοῦ δὲ γενόμενον πενθερὸν
father indeed of-her his-own and having-become father-in-law
μεταστήσεται, δολοφονεῖ.
he-should-remove he-murders

66 Καὶ τὸ πρᾶγμα ἤδη περιβόητον τοῖς ἐπαλλήλοις τῶν
and the thing already notorious by-the successive of-the
πρώτων ἀνδρῶν φόνοις ἐγεγένητο, ὡς διὰ παντὸς
first men murders had-become so-that through every
στόματος δυσκάθαρτα ἄγη συνηχεῖσθαι, φανερῶς μὲν
mouth hard-to-purge pollutions to-be-echoed openly indeed
οὐ διὰ δέος, ἠρεμαιοτέρᾳ δὲ τῇ φωνῇ.
not through fear quieter but with-the voice

67 κἄπειτα ἐκ μεταβολῆς — ὄχλος γὰρ ἀνίδρυτον ἐν ἅπασι,
and-then from change crowd for unsettled in all
καὶ βουλαῖς καὶ λόγοις καὶ πράγμασιν — ἀπιστοῦντες, εἰ
both counsels and words and deeds disbelieving if
οὕτως ἀθρόαν ἐνδέδεκται τροπὴν ὁ πρὸ μικροῦ χρηστὸς
so sudden had-taken-in turn the(-one) before little good
καὶ φιλάνθρωπος ἴσος τε καὶ κοινωνικὸς εἶναι νομισθεὶς
and humane fair both and sociable to-be thought
Γάιος, ἀπολογίας ἐσκόπουν καὶ διερευνῶντες εὕρισκον, ἐπὶ
Gaius defenses they-looked-for and searching they-found for
μὲν τῷ ἀνεψιῷ καὶ συγκληρονόμῳ τοιαῦτα φάσκοντες·
indeed the cousin and co-heir such-things saying

68 "ἀκοινώνητον ἀρχή, θεσμὸς φύσεως ἀκίνητος. οὗτος ἃ
unshareable rule law of-nature unchangeable this-one what
παθεῖν ἐμέλλησεν ἂν ὑπ' ἀδυνατωτέρου προδιέθηκεν
to-suffer would-have-been-going — from weaker he-anticipated
ἰσχυρότερος ὤν· ἄμυνα τοῦτ' ἔστιν, οὐκ ἀνδροφονία.
stronger being self-defense this is not murder
τάχα δὲ καὶ προνοητικῶς ἐπ' ὠφελείᾳ τοῦ σύμπαντος
perhaps and also providentially for benefit of-the whole
ἀνθρώπων γένους τὸ μειράκιον ἐκποδὼν γεγένηται, τῶν
of-men race the youth out-of-the-way has-been of-those
μὲν τούτῳ τῶν δὲ ἐκείνῳ προσκληρουμένων, ἐξ ὧν
indeed to-this-one of-those and to-that-one attaching-themselves from which

ταραχαὶ ἐμφύλιοί τε καὶ ξενικοὶ πόλεμοι συνίστανται.
disturbances civil both and foreign wars arise
τί δὲ ἄμεινον εἰρήνης; εἰρήνη δὲ ἐξ ἡγεμονίας ὀρθῆς
what but better than-peace peace and from rule right
φύεται· ἡγεμονία δὲ ἀφιλόνεικος καὶ ἀνερίθευτος ὀρθὴ
grows rule and uncontested and unrivaled right
μόνη, δι' ἧς καὶ τἄλλα πάντα κατορθοῦται."
alone through which also the-other all-things are-set-right
ἐπὶ δὲ Μάκρωνι· "πλέον ἐφυσήθη τοῦ μετρίου· 69
for and Macro more he-was-puffed-up than-the moderate
τὸ Δελφικὸν γράμμα οὐ διανέγνω, τὸ 'γνῶθι σαυτόν'·
the Delphic inscription not he-read the know yourself
φασὶ δὲ τὴν μὲν ἐπιστήμην εὐδαιμονίας τὴν δὲ ἄγνοιαν
they-say but the indeed knowledge of-happiness the but ignorance
κακοδαιμονίας αἰτίαν εἶναι. τί παθὼν ὑπηλλάττετο καὶ
of-misery cause to-be what having-suffered did-he-exchange and
μετετίθει τὸν μὲν ὑπήκοον αὐτὸν εἰς τάξιν ἄρχοντος, τὸν
transpose the indeed subject himself into rank of-ruler the
δὲ αὐτοκράτορα Γάιον εἰς ὑπηκόου χώραν; οἰκειότατον
and emperor Gaius into subject's place most-proper
ἡγεμόνι μὲν τὸ προστάττειν, ὅπερ ἐποίει Μάκρων, ὑπηκόῳ
for-ruler indeed the to-command which did Macro for-subject
δὲ τὸ πειθαρχεῖν, ὅπερ ὑπομένειν ἠξίου Γάιον."
but the to-obey which to-endure he-deemed-right Gaius
ἐκάλουν γὰρ οἱ ἀνεξέταστοι τὴν παραίνεσιν πρόσταξιν 70
they-called for the unexamining the exhortation command
καὶ τὸν σύμβουλον ἄρχοντα, ἤτοι μὴ συνιέντες ὑπ'
and the adviser ruler either not understanding through
ἀναισθησίας ἢ διὰ κολακείαν τὰς φύσεις τῶν ὀνομάτων
insensibility or through flattery the natures of-the names
ὁμοῦ καὶ πραγμάτων μεταχαράττοντες.
together and things restamping

71 ἐπὶ δὲ Σιλανῷ· "χλεύης ἄξιον ὁ Σιλανὸς ἔπαθεν,
for but Silanus of-mockery worthy — Silanus suffered
οἰηθεὶς πενθερὸν τοσοῦτον παρὰ γαμβρῷ δύνασθαι,
having-thought father-in-law so-much with son-in-law to-have-power
ὅσον πατέρα γνήσιον παρ' υἱῷ. καίτοι πατέρες
as-much-as father true with son and-yet fathers
ἰδιῶται γενομένων ἐν ἀρχαῖς μεγάλαις καὶ ἐξουσίαις
private-men having-become in offices great and powers
υἱῶν ὑποστέλλουσιν, ἀγαπητῶς φερόμενοι δευτερεῖα. ὁ δὲ
of-sons withdraw contentedly carrying-off second-prizes he but
ἠλίθιος, οὐδὲ πενθερὸς ὢν ἔτι, τὰ μὴ καθ' ἑαυτὸν
fool not-even father-in-law being still the-things not befitting himself
προσπεριειργάζετο μὴ συνιείς, ὅτι θανάτῳ τῆς θυγατρὸς
meddled-in not understanding that by-death of-the daughter
συνετεθνήκει καὶ ἡ κατ' ἐπιγαμίαν οἰκειότης·
had-died-with also the by marriage kinship
72 δεσμὸς γὰρ οἴκων ὀθνείων αἱ ἐπιγαμίαι τὴν ἀλλοτριότητα
bond for of-houses foreign the marriages the alienness
εἰς οἰκειότητα συνάγων, οὗ λυθέντος λέλυται καὶ
into kinship drawing which having-been-loosed are-loosed also
τὰ τῆς κοινωνίας, καὶ μάλιστα ὅταν ἀνεπανορθώτῳ
the-things of-the fellowship and most when by-irreparable
πράγματι λυθῇ, τελευτῇ τῆς εἰς ἀλλότριον οἶκον
thing it-is-loosed by-death of-the(-one) into another's house
δεδομένης ἐπὶ γάμῳ."
given in marriage
73 τοιαῦτα ἐν ἅπασι τοῖς συλλόγοις ἐθρύλουν πλεῖστον
such-things in all the gatherings they-babbled most
διδόντες μέρος τῷ μὴ βούλεσθαι δοκεῖν ὠμὸν εἶναι τὸν
giving share to-the not to-wish to-seem cruel to-be the
αὐτοκράτορα· χρηστότητα γὰρ καὶ φιλανθρωπίαν ἐλπίσαντες
emperor goodness for and humanity having-hoped

ὅσην παρ᾽ οὐδενὶ τῶν προτέρων ἐνιδρύσθαι τῇ
as-much-as in none of-the earlier to-have-been-established in-the
Γαΐου ψυχῇ σφόδρα ἄπιστον ἐνόμιζον, εἰ τοσαύτην καὶ
of-Gaius soul very unbelievable they-thought if so-great and
οὕτως ἀθρόαν ἐνδέδεκται μεταβολὴν πρὸς τἀναντία.
so sudden he-had-taken-in change to the-opposite
Κατεργασάμενος οὖν τρεῖς τοὺς εἰρημένους ἄθλους ἐκ 74
having-accomplished then three the said feats from
τριῶν τῶν ἀναγκαιοτάτων μερῶν, δυοῖν μὲν ἐκ τῆς
three of-the most-necessary parts two indeed from the
πατρίδος τοῦ τε βουλευτικοῦ καὶ τοῦ τῆς ἱππικῆς
fatherland the both senatorial and the of-the equestrian
τάξεως, τρίτου δὲ τοῦ συγγενικοῦ, καὶ ὑπολαβὼν
order third and the kindred and having-supposed
τῶν ἰσχυροτάτων καὶ δυνατωτάτων περιγεγενημένος
over-the strongest and most-powerful having-prevailed
καταπληκτικώτατον δέος ἐνειργάσθαι τοῖς ἄλλοις ἅπασι,
most-terrifying fear to-have-produced in-the others all
διὰ μὲν τῆς Σιλανοῦ σφαγῆς τοῖς βουλευταῖς — ἦν 75
through indeed the of-Silanus slaughter in-the senators was
γὰρ οὐδενὸς τῶν ἐν συγκλήτῳ δεύτερος—, διὰ δὲ τῆς
for to-none of-those in senate second through and the
Μάκρωνος τοῖς ἱππικοῖς — οἷα γὰρ χοροῦ τινος ἡγεμὼν
of-Macro in-the knights as for of-chorus some leader
ἐγεγένητο φερόμενος τὰ πρωτεῖα τιμῆς καὶ εὐδοξίας—, διὰ
he-had-become carrying-off the first-prizes of-honor and good-repute through
δὲ τῆς τοῦ ἀνεψιοῦ καὶ συγκληρονόμου τοῖς ἀφ᾽ αἵματος
and the of-the cousin and co-heir in-those from blood
ἅπασιν, οὐκέτι ἠξίου μένειν ἐν τοῖς τῆς ἀνθρωπίνης
all no-longer he-deemed-right to-remain in the of-the human
φύσεως ὅροις, ἀλλ᾽ ὑπερέκυπτε σπουδάζων θεὸς νομίζεσθαι.
nature bounds but he-peered-over being-eager god to-be-thought

76 καὶ ἐν ἀρχῇ ταύτης τῆς παραπληξίας φασὶν αὐτὸν
and in beginning of-this the madness they-say him
χρήσασθαι τοιούτῳ λογισμῷ· καθάπερ γὰρ οἱ τῶν
to-have-used such reasoning as for the of-the
ἄλλων ζῴων ἀγελάρχαι, βουκόλοι καὶ αἰπόλοι καὶ νομεῖς,
other animals herd-leaders cowherds and goatherds and shepherds
οὔτε βόες εἰσὶν οὔτε αἶγες οὔτε ἄρνες, ἀλλ' ἄνθρωποι
neither oxen are nor goats nor lambs but men
κρείττονος μοίρας καὶ κατασκευῆς ἐπιλαχόντες, τὸν αὐτὸν
of-better lot and constitution having-obtained in-the same
τρόπον ἀγελαρχοῦντα κἀμὲ τῆς ἀρίστης ἀνθρώπων γένους
way herd-leading also-me of-the best of-men race
ἀγέλης νομιστέον διαφέρειν καὶ μὴ κατ' ἄνθρωπον
herd one-must-think to-differ and not according-to man
εἶναι, μείζονος δὲ καὶ θειοτέρας μοίρας τετυχηκέναι.
to-be greater but and more-divine lot to-have-obtained
77 ταύτην τὴν ὑπόληψιν ἐνσφραγισάμενος τῇ διανοίᾳ
this the supposition having-stamped on-the mind
περιέφερεν ὁ ἠλίθιος ἐν ἑαυτῷ μυθικὸν πλάσμα ὡς
carried-about the fool in himself mythical fiction as
ἀψευδεστάτην ἀλήθειαν. καὶ ἐπειδὴ ἅπαξ ἐθρασύνατο καὶ
most-unlying truth and when once he-grew-bold and
ἀπετόλμησεν εἰς τοὺς πολλοὺς ἐξενεγκεῖν τὴν ἀθεωτάτην
dared to the many to-bring-out the most-godless
ἐκθέωσιν αὑτοῦ, τὰ ἀκόλουθα καὶ συνῳδὰ πράττειν
deification of-himself the-things consequent and consonant to-do
ἐπεχείρει καὶ οἷα δι' ἀναβαθμῶν ἐκ τοῦ κατ' ὀλίγον εἰς
he-attempted and as by steps from the by little to
τὸ ἄνω προῄει.
the up advanced

ἤρχετο γὰρ ἐξομοιοῦν τὸ πρῶτον τοῖς λεγομένοις 78
he-began for to-liken the first to-the so-called
ἡμιθέοις ἑαυτόν, Διονύσῳ καὶ Ἡρακλεῖ καὶ Διοσκούροις,
demigods himself to-Dionysus and Heracles and Dioscuri
Τροφώνιον καὶ Ἀμφιάραον καὶ Ἀμφίλοχον καὶ τοὺς
Trophonius and Amphiaraus and Amphilochus and the
ὁμοίους χρηστηρίοις αὐτοῖς καὶ ὀργίοις χλεύην τιθέμενος
like with-oracles themselves and rites mockery making
κατὰ σύγκρισιν τῆς ἰδίας δυνάμεως.
by comparison of-the own power
εἶθ' ὥσπερ ἐν θεάτρῳ σκευὴν ἄλλοτε ἀλλοίαν ἀνελάμβανε, 79
then as in theater costume at-one-time another took-up
τοτὲ μὲν λεοντῆν καὶ ῥόπαλον, ἀμφότερα ἐπίχρυσα,
at-times indeed lion-skin and club both gilded
διακοσμούμενος εἰς Ἡρακλέα, τοτὲ δὲ πίλους ἐπὶ τῆς
adorning-himself into Heracles at-times and caps on the
κεφαλῆς, ὁπότε ἀσκοῖτο εἰς Διοσκούρους· ἔστι δὲ ὅτε
head whenever he-was-dressed into Dioscuri it-is and when
κιττῷ καὶ θύρσῳ καὶ νεβρίσιν εἰς Διόνυσον ἠσκεῖτο·
with-ivy and thyrsus and fawnskins into Dionysus he-was-dressed
καὶ ταύτῃ διαφέρειν ἀξιῶν, ὅτι ἐκείνων μὲν ἕκαστος ἰδίας 80
and in-this to-differ deeming that of-those indeed each own
ἔχων τιμὰς οὐ μετεποιεῖτο ὧν ἐκοινώνουν ἕτεροι, ὁ δὲ
having honors not laid-claim-to of-what shared others he but
τὰς πάντων ἀθρόων ἐσφετερίζετο φθόνῳ καὶ πλεονεξίᾳ,
the of-all all-together appropriated through-envy and greed
μᾶλλον δὲ καὶ αὐτοὺς ἐκείνους, οὐκ εἰς Γηρυόνην τὸν
rather but also themselves those not into Geryones the
τρισώματον μεταβαλών, ἵνα τῷ πλήθει παραγάγῃ
three-bodied changing so-that by-the number he-might-mislead
τοὺς ὁρῶντας, ἀλλ', ὃ δὴ παραδοξότατον ἦν, ἑνὸς
those seeing but what indeed most-paradoxical was of-one

σώματος οὐσίαν μετασχηματίζων καὶ μεταχαράττων εἰς
body substance transforming and restamping into
πολυτρόπους μορφάς, Αἰγυπτίου τρόπον Πρωτέως, ὃν
many-turned shapes Egyptian like Proteus whom
εἰσήγαγεν Ὅμηρος μεταβολὰς παντοίας ἐνδεχόμενον εἴς
introduced Homer changes of-all-kinds admitting into
τε τὰ στοιχεῖα καὶ τὰ ἐκ τούτων ζῷα καὶ φυτά.
both the elements and the from these animals and plants
81 καίτοι τί παρασήμων ἔδει σοι, Γάιε, οἷς ἔθος
and-yet what of-insignia it-was-needful for-you Gaius with-which custom
ἀσκεῖσθαι τὰ τῶν εἰρημένων ἀφιδρύματα; ἐχρῆν γὰρ
to-be-adorned the of-the said images it-was-needful for
ζηλοῦν τὰς ἐκείνων ἀρετάς. Ἡρακλῆς ἐκάθηρε γῆν καὶ
to-emulate the their virtues Heracles purified land and
θάλατταν ἄθλους ἀναγκαιοτάτους καὶ ὠφελιμωτάτους
sea labors most-necessary and most-useful
ἅπασιν ἀνθρώποις ὑποστὰς ἕνεκα τοῦ τὰ βλαβερὰ
for-all men having-undertaken for-the-sake of-the the harmful
καὶ κακωτικὰ φύσεως ἑκατέρας ἀνελεῖν.
and noxious of-nature each to-destroy

Philo sets the demigods' benefits against Gaius' deeds. Dionysus gave the vine and the Dioscuri shared immortality out of brotherly love, while Heracles' toils filled lands and islands with order and plenty; Gaius killed his brother and co-heir, exiled his sisters, invented new arts of destruction, and filled the cities with tumult. He then dresses as Hermes with staff, sandals, and cloak, as Apollo with a crown of rays while choirs sing him paeans, and as Ares amid a band of murderers. Philo asks what Hermes' winged sandals and staff of truces mean on a man of evil news and war, and Apollo's rays on one whose deeds belong to darkness.

Διόνυσος ἡμερώσας ἄμπελον καὶ ποτὸν ἐξ αὐτῆς 82
Dionysus having-tamed vine and drink from it
ἀναχέας ἥδιστον ὁμοῦ καὶ ὠφελιμώτατον ψυχαῖς τε
having-poured-out sweetest at-once and most-beneficial for-souls both
καὶ σώμασι τὰς μὲν ἄγει πρὸς εὐθυμίαν, κακῶν
and bodies the(-ones) indeed leads to cheerfulness of-evils
λήθην καὶ ἀγαθῶν ἐλπίδας ἐνεργαζόμενος, τὰ δὲ σώματα
forgetfulness and of-goods hopes producing the and bodies
ὑγιεινότερα καὶ κραταιότερα καὶ εὐκινητότερα παρασκευάζει·
healthier and stronger and more-nimble makes
καὶ ἰδίᾳ τε ἕκαστον ἀνθρώπων βελτίονα ποιεῖ καὶ 83
and privately both each of-men better makes and
πολυανθρώπους οἰκίας καὶ συγγενείας ἐξ αὐχμηροῦ
populous houses and kindreds from squalid
καὶ ἐπιπόνου βίου μεθαρμόζεται πρὸς ἀνειμένης σχῆμα
and toilsome life changes to of-relaxed form
καὶ ἱλαρᾶς διαίτης καὶ πάσαις πόλεσιν Ἑλληνικαῖς τε
and cheerful way-of-life and to-all cities Greek both
καὶ βαρβαρικαῖς εὐωχίας, εὐφροσύνας, θαλίας, ἑορτὰς
and barbarian feasts merriments festivities feasts
ἐπαλλήλους παρέχει· πάντων γὰρ τῶν λεχθέντων αἴτιος
successive provides of-all for the said cause

ἄκρατος. πάλιν Διοσκούρους λόγος ἔχει κοινώσασθαι τὴν
unmixed-wine again Dioscuri report holds to-have-shared the
ἀθανασίαν.
immortality

84 ἐπειδὴ γὰρ ὁ μὲν θνητὸς ὁ δὲ ἀθάνατος ἦν,
since for the(-one) indeed mortal the(-other) and immortal was
οὐκ ἐδικαίωσεν ὁ τῆς κρείττονος μοίρας ἀξιωθεὶς
not thought-it-just the(-one) of-the better lot deemed-worthy
φιλαυτῆσαι μᾶλλον ἢ πρὸς τὸν ἀδελφὸν εὔνοιαν
to-love-himself rather than toward the brother goodwill
ἐπιδείξασθαι.
to-show

85 φαντασιωθεὶς γὰρ τὸν ἄπειρον αἰῶνα καὶ λογισάμενος,
having-imagined for the infinite eternity and having-reckoned
ὅτι αὐτὸς μὲν ἀεὶ βιώσεται, ὁ δὲ ἀδελφὸς ἀεὶ
that himself indeed always will-live the and brother always
τεθνήξεται, καὶ μετὰ τῆς ἀθανασίας ἀθάνατον τὸ ἐπ᾽
will-be-dead and with the immortality immortal the for
ἐκείνῳ πένθος ἀναδέξεται, θαυμαστὴν ἐμεγαλούργησεν
him grief will-take-on marvelous he-wrought
ἀντίδοσιν ἀνακερασάμενος αὑτῷ μὲν τὸ θνητόν, τῷ δὲ
exchange having-mixed for-himself indeed the mortal for-the and
ἀδελφῷ τὸ ἄφθαρτον, καὶ ἀνισότητα, τὴν ἀδικίας ἀρχήν,
brother the incorruptible and inequality the of-injustice beginning
ἐνηφάνισεν ἰσότητι, ἥτις ἐστὶ πηγὴ δικαιοσύνης.
he-abolished by-equality which is source of-justice

86 οὗτοι πάντες, ὦ Γάιε, διὰ τὰς ὑπηργμένας εὐεργεσίας
these all O Gaius because-of the having-been-done benefactions
ἐθαυμάσθησαν καὶ ἔτι νῦν θαυμάζονται καὶ σεβασμοῦ τε
were-admired and still now are-admired and of-reverence both

καὶ τῶν ἀνωτάτω τιμῶν ἠξιώθησαν. εἰπὲ δὴ καὶ αὐτὸς
and of-the highest honors were-deemed-worthy tell indeed also yourself
ἡμῖν, ἐπὶ τίνι γαυριᾷς καὶ πεφύσησαι τῶν παραπλησίων;
to-us at what do-you-exult and are-you-puffed-up of-the similar-things
ἐμιμήσω τοὺς Διοσκούρους εἰς φιλαδελφίαν; ἵνα ἐντεῦθεν 87
did-you-imitate the Dioscuri in brotherly-love so-that from-here
ἄρξωμαι. τὸν μὲν ἀδελφὸν καὶ συγκληρονόμον ἐν ἀκμῇ
I-may-begin the indeed brother and co-heir in prime
τῆς πρώτης ἡλικίας, ὦ σιδήρειε καὶ ἀνηλεέστατε, ὠμῶς
of-the first age O iron-hearted and most-pitiless cruelly
ἀπέσφαξας, τὰς δ᾽ ἀδελφὰς ὕστερον ἐφυγάδευσας· μὴ
you-slaughtered the and sisters later you-exiled lest
καὶ αὗται τὸν περὶ ἀφαιρέσεως ἀρχῆς φόβον εἰργάζοντό
also these the about removal of-rule fear were-producing
σοι; ἐμιμήσω Διόνυσον;
for-you did-you-imitate Dionysus
εὑρετὴς καινῶν γέγονας χαρίτων ὡς ἐκεῖνος; εὐφροσύνης 88
discoverer of-new have-you-become graces as he of-merriment
κατέπλησας τὴν οἰκουμένην; Ἀσία καὶ Εὐρώπη τὰς ἐκ
did-you-fill the inhabited-world Asia and Europe the from
σοῦ γεγενημένας δωρεὰς οὐ χωρεῖ;
you having-come gifts not does-contain
καινὰς μὲν οὖν τέχνας καὶ ἐπιστήμας ἀνεῦρες ὡς κοινὸς 89
new indeed then arts and sciences you-found as common
λυμεὼν καὶ παλαμναῖος, αἷς μεταβάλλεις τὰ ἡδέα καὶ
destroyer and blood-guilty-one by-which you-change the sweet and
χαρτὰ πρὸς ἀηδίας καὶ λύπας καὶ ἀβίωτον βίον
gladdening-things into disgusts and griefs and unlivable life
τοῖς πανταχοῦ πᾶσι, τὰ μὲν παρ᾽ ἑτέροις ἀγαθὰ καὶ
for-those everywhere all the indeed among others good and
καλὰ πάντα σφετεριζόμενος ἀπλήστοις καὶ ἀκορέστοις
fine-things all appropriating with-insatiable and unsated

ταῖς ἐπιθυμίαις, τὰ ἀπὸ τῶν ἑῴων, τὰ ἀπὸ τῶν
the desires the-things from the eastern-parts the-things from the
ἑσπερίων, τὰ ἀπὸ τῶν ἄλλων τοῦ παντὸς κλιμάτων, εἴ
western-parts the-things from the other of-the universe regions if
τινα ἢ κατὰ μεσημβρίαν ἦν ἢ πρὸς ἄρκτον, τὰ δὲ ἀπὸ
any either toward south was or toward north the-things and from
τῆς σαυτοῦ πικρίας καὶ ὅσα ταῖς ἐπαράτοις καὶ ἰοβόλοις
the your-own bitterness and as-many-as for-the accursed and venomous
ψυχαῖς γεννᾶν ἔθος βλαβερὰ καὶ ἐπιζήμια ἀντιδιδοὺς καὶ
souls to-beget is-wont harmful and damaging giving-in-return and
ἀντιπέμπων· διὰ ταῦτα ὁ νέος Διόνυσος ἡμῖν ἀνεφάνης;
sending-in-return for these-things the new Dionysus to-us did-you-appear
90 ἀλλὰ καὶ Ἡρακλέα ἐζήλωσας τοῖς ἀκαμάτοις σαυτοῦ
but also Heracles did-you-emulate with-the untiring your
πόνοις καὶ ταῖς ἀτρύτοις ἀνδραγαθίαις, εὐνομίας καὶ εὐδικίας
toils and the unwearied brave-deeds of-good-order and of-good-justice
εὐθηνίας τε καὶ εὐετηρίας καὶ τῆς τῶν ἄλλων ἀγαθῶν
of-plenty both and of-good-harvest and of-the of-the other goods
ἀφθονίας, ὧν ἡ βαθεῖα εἰρήνη δημιουργός, ἀναπλήσας
abundance of-which the deep peace craftsman having-filled
ἠπείρους τε καὶ νήσους, ὁ ἀγεννέστατος, ὁ δειλίας μεστός,
mainlands both and islands the most-ignoble the of-cowardice full
ὁ τῶν μὲν εἰς εὐστάθειαν καὶ εὐδαιμονίαν ἁπάντων
the(-one) of-the-things indeed for stability and happiness all
κενώσας τὰς πόλεις, μεστὰς δὲ τῶν εἰς ταραχὰς καὶ
having-emptied the cities full but of-the-things for disturbances and
θορύβους καὶ τὴν ἀνωτάτω βαρυδαιμονίαν ἀναφήνας;
tumults and the highest misery having-shown-them
91 ἐπὶ δὲ ταῖς τοσαύταις φοραῖς, ἃς ἤνεγκας ἐπ᾽ ὀλέθρῳ,
for and the so-great harvests which you-brought for destruction
εἰπέ μοι, Γάιε, ζητεῖς ἀθανασίας μεταλαχεῖν, ἵνα μὴ
tell me Gaius do-you-seek of-immortality to-get-a-share so-that not

ὀλιγοχρονίους καὶ ἐφημέρους ἀλλὰ ἀθανάτους ἀπεργάσῃ
short-lived and ephemeral but immortal you-may-make
συμφοράς; ἐγὼ δὲ νομίζω τοὐναντίον, εἰ καί τις ἔδοξας
misfortunes I but think the-opposite if even some you-seemed
γεγενῆσθαι θεός, πάντως ἄν σε μεταβαλεῖν ἕνεκα
to-have-become god altogether — you to-change for-the-sake
τῶν πονηρῶν ἐπιτηδευμάτων εἰς θνητὴν φύσιν· εἰ γὰρ
of-the wicked practices into mortal nature if for
ἀθανατίζουσιν ἀρεταί, πάντως φθείρουσι κακίαι.
immortalize virtues altogether destroy vices
μήτε οὖν ἐν Διοσκούροις γράφου τοῖς φιλαδελφοτάτοις, ὁ 92
neither then among Dioscuri be-enrolled the most-brother-loving the
σφαγεὺς καὶ λυμεὼν τῶν ἀδελφῶν γεγονώς, μήτε Ἡρακλέους
slaughterer and destroyer of-the brothers having-become nor of-Heracles
ἢ Διονύσου τιμῆς κοινοπράγει τῶν τὸν βίον ὀνησάντων,
or of-Dionysus honor share of-those the life having-benefited
ὁ κακωτὴς καὶ διαφθορεὺς ὧν ἔδρασαν ἐκεῖνοι.
the ravager and corrupter of-what did they
Τοσαύτη δέ τις περὶ αὐτὸν ἦν λύττα καὶ παράφορος καὶ 93
so-great but some about him was rage and frenzied and
παράκοπος μανία, ὥστε καὶ τοὺς ἡμιθέους ὑπερβὰς
deranged madness that even the demigods having-passed-over
ἐπανήει καὶ ἐπαπεδύετο τοῖς τῶν μειζόνων καὶ ἀμφιθαλῶν
he-went-up and stripped-for the of-the greater and of-both-parents-living
εἶναι δοκούντων σεβασμοῖς Ἑρμοῦ καὶ Ἀπόλλωνος καὶ
to-be seeming reverences of-Hermes and Apollo and
Ἄρεως.
Ares

94 Ἑρμοῦ τὸ πρῶτον, κηρυκείοις καὶ πεδίλοις καὶ χλαμύσιν
of-Hermes the first with-heralds'-staffs and sandals and cloaks
ἐνσκευαζόμενος τάξιν τε ἐν ἀταξίᾳ καὶ τὸ ἀκόλουθον ἐν
equipping-himself order both in disorder and the consequence in
συγχύσει καὶ λογισμὸν ἐν φρενοβλαβείᾳ παρεπιδεικνύμενος·
confusion and reason in derangement displaying
95 εἶτα, ὁπότε δόξειεν αὐτῷ, τὰ μὲν ἀπετίθετο, εἰς δὲ
then whenever it-seemed-good to-him these indeed he-put-off into but
Ἀπόλλωνα μετεμορφοῦτο καὶ μετεσκευάζετο, στεφάνοις
Apollo he-transformed-himself and changed-costume with-crowns
μὲν ἀκτινοειδέσι τὴν κεφαλὴν ἀναδούμενος, τόξον δὲ τῇ
indeed rayed the head binding bow and in-the
εὐωνύμῳ καὶ βέλη κρατῶν χειρί, Χάριτας δὲ τῇ δεξιᾷ
left and arrows holding hand Graces and with-the right
προτείνων, ὡς δέον τὰ μὲν ἀγαθὰ ὀρέγειν ἐξ ἑτοίμου
holding-out as needful the indeed goods to-hold-out from ready
καὶ τετάχθαι τὴν βελτίονα τάξιν τὴν ἐπὶ δεξιά, τὰς
and to-have-been-ranked the better rank the on right the
δὲ κολάσεις ὑποστέλλειν καὶ τὴν καταδεεστέραν χώραν
but punishments to-hold-back and the inferior place
κεκληρῶσθαι τὴν ἐπ' εὐώνυμα.
to-have-been-allotted the on left
96 χοροί τε εὐθὺς εἱστήκεσαν συγκεκροτημένοι, παιᾶνας εἰς
choruses both at-once stood drilled paeans to
αὐτὸν ᾄδοντες, οἱ πρὸ μικροῦ Βάκχον καὶ Εὐήιον καὶ
him singing those before little Bacchus and Euius and
Λυαῖον ὀνομάζοντες καὶ ὕμνοις γεραίροντες, ἡνίκα τὴν
Lyaeus naming-him and with-hymns honoring when the
Διονυσιακὴν ἀνελάμβανε σκευήν.
Dionysiac he-took-up costume

πολλάκις δὲ καὶ θώρακα ἐνδυόμενος ξιφήρης προῄει 97
often and also breastplate putting-on sword-in-hand he-went-forth
μετὰ κράνους καὶ ἀσπίδος, Ἄρης ἀνακαλούμενος· καὶ παρ᾽
with helmet and shield Ares being-hailed and on
ἑκάτερα οἱ Ἄρεως τοῦ καινοῦ θεραπευταὶ συμπροῄεσαν,
each-side the of-Ares the new attendants went-forth-with
ἀνδροφόνων καὶ δημοκοίνων θίασος, ὑπηρετήσοντες κακὰς
of-murderers and executioners band going-to-render evil
ὑπηρεσίας φονῶντι καὶ διψῶντι ἀνθρωπείου αἵματος.
services to-one-lusting-for-slaughter and thirsting of-human blood
εἶτα τοῖς ταῦτα ὁρῶσι κατάπληξις ἦν ἐπὶ τῷ παραλόγῳ, 98
then for-those these-things seeing amazement was at the absurdity
καὶ ἐθαύμαζον, πῶς ὁ τἀναντία δρῶν οἷς ἰσότιμος
and they-wondered how the(-one) the-opposite doing to-those equal-in-honor
εἶναι προαιρεῖται τὰς μὲν ἀρετὰς αὐτῶν ἐπιτηδεύειν
to-be chooses the indeed virtues their to-practice
οὐκ ἀξιοῖ, τοῖς δὲ παρασήμοις εἰς ἕκαστον σκευάζεται.
not deems-fit with-the but insignia for each is-dressed
καίτοι τὰ περίαπτα ταῦτα καὶ προκοσμήματα ξοάνοις
and-yet the amulets these and ornaments to-wooden-images
καὶ ἀγάλμασι προσκαθίδρυται, διὰ συμβόλων μηνύοντα
and statues are-set-beside through symbols indicating
τὰς ὠφελείας, ἃς παρέχονται τῷ γένει τῶν ἀνθρώπων
the benefits which provide to-the race of-the men
οἱ τιμώμενοι. πέδιλα Ἑρμῆς ὑποδεῖται πτερῶν ταρσοὺς
those honored sandals Hermes wears of-wings pinions
ἔχοντα· διὰ τί;
having for what
ἆρα οὐχ ὅτι προσήκει τὸν ἑρμηνέα καὶ προφήτην 99
is-it not because it-befits the interpreter and prophet
τῶν θείων, ἀφ᾽ οὗ καὶ Ἑρμῆς ὠνόμασται, τὰ ἀγαθὰ
of-the divine-things from which also Hermes is-named the goods

διαγγέλλοντα — κακοῦ γὰρ οὐχ ὅτι θεὸς ἀλλ' οὐδὲ
announcing of-evil for not that god but not-even
σοφὸς ἀνὴρ γίνεται μηνυτής — ποδωκέστατόν τε εἶναι
wise man becomes informer swiftest both to-be
καὶ μόνον οὐ πτηνὸν φέρεσθαι διὰ σπουδὴν ἀνυπέρθετον;
and only not winged to-be-carried through haste admitting-no-delay
ἐπειδὴ τὰ λυσιτελῆ φθάνοντας εὐαγγελίζεσθαι προσήκει,
since the profitable-things anticipating to-bring-good-news it-befits
καθάπερ τὰ παλίμφημα μέλλοντας, εἰ μὴ ἐπιτρέποι τις
as the ill-omened-things delaying if not should-allow anyone
αὐτὰ ἡσυχάζεσθαι.
them to-be-kept-quiet

100 πάλιν κηρύκειον ἀναλαμβάνει δεῖγμα συμβατηρίων
again herald's-staff he-takes-up sign of-reconciling
σπονδῶν· πόλεμοι γὰρ ἀνοχὰς καὶ διαλύσεις λαμβάνουσι
truces wars for armistices and settlements take
διὰ κηρύκων εἰρήνην καθισταμένων· οἱ δὲ ἀκήρυκτοι
through heralds peace establishing those but without-heralds
συμφορὰς ἀτελευτήτους ἀπεργάζονται καὶ τοῖς ἐπιφέρουσι
misfortunes endless produce both for-those attacking
καὶ τοῖς ἀμυνομένοις.
and for-those defending

101 Γάιος δὲ πρὸς τίνα χρείαν πέδιλα ἀνελάμβανεν; ἢ ἵνα τὰ
Gaius but for what use sandals did-he-take-up or so-that the
δύσφημα καὶ δυσώνυμα, δέον ἡσυχάζεσθαι, βοηδρομῆται
ill-omened and ill-named-things needing to-be-kept-quiet be-shouted-abroad
τάχει συντόνῳ πάντῃ συνηχοῦντα; καίτοι τί κινήσεως
with-speed intense everywhere resounding and-yet what of-movement
ἐπεσπευσμένης ἔδει; μένων γὰρ κακὰ ἐπὶ κακοῖς
hastened it-was-needful staying for evils upon evils

ἀμύθητα ὥσπερ ἐξ ἀενάων πηγῶν εἰς ἅπαντα τὰ μέρη
untold as from ever-flowing springs into all the parts
τῆς οἰκουμένης ὤμβρει.
of-the inhabited-world he-rained
τί δὲ δεῖ κηρυκείου τῷ μηδὲν εἰρηναῖόν ποτε 102
what and it-is-needful of-herald's-staff for-the(-one) nothing peaceful ever
μήτε εἰπόντι μήτε δράσαντι, πᾶσαν δὲ οἰκίαν καὶ πόλιν
neither having-said nor having-done every but house and city
ἐμφυλίων ἀναπλήσαντι πολέμων κατά τε τὴν Ἑλλάδα
with-civil having-filled wars in both the Greek-world
καὶ βάρβαρον; ἀποθέσθω δὴ τὸν Ἑρμῆν, ἀφοσιωσάμενος
and barbarian let-him-put-off indeed — Hermes having-renounced
τὴν ἀνοίκειον κλῆσιν, ὁ ψευδώνυμος.
the unfitting name the falsely-named
τί δὲ τῶν Ἀπολλωνιακῶν ἐμφερές ἐστι παρ᾽ αὐτῷ; 103
what and of-the Apollonian-things like is in him
στέφανον ἀκτινωτὸν φορεῖ, εὖ πως ἀπομαξαμένου τὰς
crown rayed he-wears well somehow having-imitated the
ἡλιακὰς ἀκτῖνας τοῦ τεχνίτου. ἐκείνῳ δὲ ἥλιος ἢ φῶς
solar rays the artist for-that-one but sun or light
συνόλως ἀσπαστόν ἐστιν, ἀλλ᾽ οὐχὶ νὺξ καὶ σκότος καὶ
altogether welcome is but not night and darkness and
εἴ τι σκότους ἀφεγγέστερον εἰς τὴν τῶν ἐκνόμων
if anything than-darkness more-lightless for the of-the lawless
ἔργων διάθεσιν; ἐπειδὴ τὰ μὲν καλὰ περιαυγείας
deeds performance since the indeed fine-things of-brightness
μεσημβρινῆς δεῖται πρὸς ἐπίδειξιν, τὰ δὲ αἰσχρά φασιν
midday need for display the but shameful-things they-say
ἐσχατιᾶς Ταρτάρου, εἰς ὃν ἄξιον συνωθεῖσθαι δεόντως
of-farthest-depth of-Tartarus into which worthy to-be-thrust duly
ἐπικρυφθησόμενα.
going-to-be-hidden

Gaius should hold the arrows in his right hand, since he shoots down whole cities, and cast away the Graces, whose beauty he shamed by seizing estates; Apollo heals and prophesies good, while Gaius brings disease, maiming, and deadly oracles of poverty and exile, and is in body and soul the reverse of Ares, the helper. Only the Jews will not join the world in deifying him, being taught from infancy that there is one God and ready to die for their laws. An undeclared war is therefore prepared against them, and the Alexandrian mob, sensing its moment, drives them from their houses, plunders their goods openly, and leaves them homeless under the sky.

104 μεταθέτω καὶ τὰ ἐν ἑκατέρᾳ χειρὶ καὶ μὴ κιβδηλευέτω
let-him-transpose also the-things in each hand and not let-him-falsify
τὴν τάξιν. τὰ μὲν βέλη καὶ τόξα τῇ δεξιᾷ προφερέτω·
the order the indeed arrows and bows in-the right let-him-hold-forth
βάλλειν γὰρ καὶ τοξεύειν εὐσκόπως οἶδεν ἄνδρας, γυναῖκας,
to-shoot for and to-shoot-arrows well-aimed he-knows men women
συγγενείας ὅλας, εὐανδρούσας πόλεις, ἐπ᾽ ὀλέθρῳ παντελεῖ.
kindreds whole populous cities for destruction complete
105 τὰς δὲ Χάριτας ἢ ῥιψάτω θᾶττον ἢ τῇ
the but Graces either let-him-throw-away quicker or with-the
εὐωνύμῳ συσκιαζέτω· τὸ γὰρ κάλλος ᾔσχυνεν αὐτῶν,
left let-him-overshadow the for beauty he-shamed their
προσοφθαλμιῶν καὶ προσκεχηνὼς ταῖς μεγάλαις οὐσίαις
casting-eyes-on and gaping at-the great estates
εἰς ἁρπαγὰς ἀδίκους, αἷς ἐπικατεσφάττοντο οἱ δεσπόται
for seizures unjust by-which were-slaughtered-besides the masters
τῆς εὐτυχίας ἕνεκα κακοδαιμονοῦντες.
of-the good-fortune for-the-sake made-miserable
106 ἀλλὰ καὶ τὴν ἰατρικὴν Ἀπόλλωνος εὖ πως μετεχάραξεν.
but also the medicine of-Apollo well somehow he-restamped
ὁ μὲν γὰρ σωτηρίων φαρμάκων εὑρετὴς ἐγένετο
he indeed for of-saving drugs discoverer became

πρὸς ὑγείαν ἀνθρώπων, ἀξιῶν καὶ τὰς ὑφ᾽ ἑτέρων
for health of-men deeming also the by others
ἐγγινομένας νόσους αὐτὸς ἰᾶσθαι διὰ τὴν ἐκ φύσεως
arising diseases himself to-heal because-of the from nature
καὶ ἐπιτηδεύσεως ὑπερβάλλουσαν ἡμερότητα.
and practice surpassing gentleness
ὁ δὲ ἔμπαλιν νόσους μὲν τοῖς ὑγιαίνουσι, πηρώσεις 107
he but conversely diseases indeed on-the healthy maimings
δὲ τοῖς ὁλοκλήροις, καὶ συνόλως θανάτους τοῖς ζῶσι
and on-the whole and altogether deaths on-the living
χειροποιήτους πρὸ τοῦ μοιριδίου χαλεποὺς ἐπέφερε, πάντα
hand-made before the fated harsh brought all
τὰ φθοροποιὰ χορηγίαις ἀφθόνοις παρεσκευασμένος, οἷς,
the destructive-things with-supplies abundant prepared with-which
εἰ μὴ ἔφθασε προαναιρεθεὶς ὑπὸ τῆς δίκης, κἂν
if not he-had-been-beforehand destroyed-first by the justice even
τὸ ἐν ἑκάστῃ πόλει δοκιμώτατον ἤδη διέφθαρτο.
the in each city most-approved already would-have-been-destroyed
πρὸς τοὺς γὰρ ἐν τέλει καὶ πλουσίους εὐτρεπεῖς ἦσαν αἱ 108
against those for in office and rich ready were the
παρασκευαί, καὶ μάλιστα τοὺς ἐν Ῥώμῃ καὶ τῇ ἄλλῃ Ἰταλίᾳ,
preparations and most those in Rome and the other Italy
παρ᾽ οἷς ἄργυρος καὶ χρυσὸς τεθησαύρισται τοσοῦτος,
among whom silver and gold has-been-treasured so-much
ὥστε, εἰ σύμπας ὁ ἐξ ἁπάσης τῆς ἄλλης οἰκουμένης ἀπὸ
that if all the from all the other inhabited-world from
περάτων αὐτῶν συνενεχθείη, πολλῷ καταδεέστερος
ends themselves should-be-brought-together much inferior
ἂν εὑρεθῆναι. διὰ τοῦτο ἀπὸ τῆς πατρίδος ὥσπερ ἀφ᾽
— to-be-found for this from the fatherland as from

ἱερᾶς ἤρχετο τὰ σπέρματα τῆς εἰρήνης ἀπορρίπτειν, ὁ
sacred-line he-began the seeds of-the peace to-cast-away the
μισόπολις, ὁ δημοβόρος, ἡ λύμη, τὸ φθοροποιὸν κακόν.
city-hater the people-devourer the bane the destructive evil
109 λέγεται μὴ μόνον ἰατρὸς ἀλλὰ καὶ μάντις ἀγαθὸς Ἀπόλλων
it-is-said not only doctor but also prophet good Apollo
εἶναι, χρησμοῖς προλέγων τὰ μέλλοντα πρὸς ὠφέλειαν
to-be by-oracles foretelling the future for benefit
ἀνθρώπων, ἵνα μή τις ἐπισκιασθεὶς αὐτῶν περὶ τὸ
of-men so-that not anyone overshadowed of-them about the
ἄδηλον ἀπροοράτως καθάπερ τυφλὸς τοῖς ἀβουλήτοις ὡς
unclear without-foresight like blind-man on-the unwished-for-things as
λυσιτελεστάτοις ἐπιτρέχων ἐπεμπίπτῃ, προμαθὼν
most-profitable running-at may-fall-upon-them having-learned-beforehand
δὲ τὸ μέλλον ὡς ἤδη παρὸν καὶ βλέπων αὐτὸ τῇ
but the future as already present and seeing it with-the
διανοίᾳ οὐχ ἧττον ἢ τὰ ἐν χερσὶν ὀφθαλμοῖς σώματος
mind not less than the-things at hand with-eyes of-body
φυλάττηται, προνοούμενος τοῦ μηδὲν ἀνήκεστον παθεῖν.
he-may-be-on-guard taking-forethought of-the nothing incurable to-suffer
110 ἆρα ἄξιον τούτοις ἀντιθεῖναι τὰ παλίμφημα Γαΐου λόγια,
is-it worth to-these to-set-against the ill-omened of-Gaius oracles
δι᾽ ὧν πενίαι καὶ ἀτιμίαι καὶ φυγαὶ καὶ θάνατοι
through which poverties and dishonors and exiles and deaths
προεμηνύοντο τοῖς πανταχοῦ τῶν ἐν τέλει καὶ δυνατῶν;
were-foretold to-those everywhere of-those in office and powerful
τίς οὖν κοινωνία πρὸς Ἀπόλλωνα τῷ μηδὲν οἰκεῖον
what then fellowship with Apollo for-the(-one) nothing proper
ἢ συγγενὲς ἐπιτετηδευκότι; πεπαύσθω καὶ ὁ ψευδώνυμος
or akin having-practiced let-him-cease also the falsely-named

Παιὰν τὸν ἀληθῆ Παιᾶνα μιμούμενος· οὐ γὰρ ὥσπερ τὸ
Paean the true Paean imitating not for as the
νόμισμα παράκομμα καὶ θεοῦ μορφὴ γίνεται.
coin counterfeit also god's form becomes
πάντα γε μὴν ἐλπίσειεν ἄν τις μᾶλλον ἢ τοιοῦτον 111
all-things at-least indeed would-hope — anyone rather than such
σῶμα καὶ ψυχήν, ἄμφω μαλακὰ καὶ κατεαγότα, τῇ
body and soul both soft and broken in-the
περὶ ἑκάτερον Ἄρεως ἀλκῇ δυνηθῆναί ποτε ἐξομοιωθῆναι·
about each of-Ares prowess to-be-able ever to-be-likened
ὁ δὲ ὥσπερ ἐπὶ σκηνῆς ἐναλλάττων πολυειδῆ προσωπεῖα
he but as on stage changing many-formed masks
φαντασίαις ψευδέσιν ἠπάτα τοὺς ὁρῶντας.
with-appearances false deceived those seeing
φέρε δ' οὖν, μηδὲν τῶν περὶ σῶμα καὶ ψυχὴν 112
come but then nothing of-the-things about body and soul
ἐξεταζέσθω διὰ τὴν ἐν πάσαις σχέσεσι καὶ κινήσεσιν
let-be-examined because-of the in all postures and movements
ἀλλοτριότητα πρὸς τὸν εἰρημένον δαίμονα· τὴν Ἄρεως
alienness to the said deity the of-Ares
οὖν, οὐχὶ τοῦ μεμυθευμένου, τοῦ δὲ ἐν τῇ φύσει λόγου,
then not of-the mythical of-the but in the nature reason
ὃν ἀνδρεία κεκλήρωται, δύναμιν οὐκ ἴσμεν ἀλεξίκακον
which courage has-been-allotted power do-we-not know averter-of-evil
οὖσαν καὶ βοηθὸν καὶ παραστάτιν ἀδικουμένων, ὡς καὶ
being and helper and defender of-the-wronged as even
αὐτό που δηλοῖ τοὔνομα;
itself surely shows the-name
παρὰ γὰρ τὸ ἀρήγειν, ὅπερ βοηθεῖν ἐστι, κατὰ γλῶτταν 113
from for the to-succor which to-help is in dialect
Ἄρης ὠνομάσθαι μοι δοκεῖ, καθαιρετικὸς πολέμων,
Ares to-have-been-named to-me seems destroyer of-wars

δημιουργὸς εἰρήνης, ἧς ἐχθρὸς μὲν ἦν ἕτερος, ἑταῖρος
craftsman of-peace of-which enemy indeed was the-other comrade
δὲ πολέμων, τὴν εὐστάθειαν εἰς ταραχὰς καὶ στάσεις
but of-wars the stability into disturbances and factions
μεθαρμοζόμενος.
changing

114 Ἆρά γε ἤδη μεμαθήκαμεν ἐκ τούτων, ὅτι οὐδενὶ θεῶν
is-it indeed already have-we-learned from these that to-none of-gods
ἀλλ' οὐδὲ ἡμιθέων ἐξομοιοῦσθαι δεῖ Γάιον, μήτε φύσεως
but not-even of-demigods to-be-likened it-is-needful Gaius neither nature
μήτε οὐσίας ἀλλὰ μηδὲ προαιρέσεως τετυχηκότα τῆς
nor substance but not-even choice having-obtained the
αὐτῆς; τυφλὸν δέ, ὡς ἔοικεν, ἡ ἐπιθυμία, καὶ μάλισθ' ὅταν
same blind but as it-seems the desire and most when
προσλάβῃ κενοδοξίαν ὁμοῦ καὶ φιλονεικίαν μετὰ τῆς μεγίστης
it-takes-on vainglory at-once and contentiousness with the greatest
ἐξουσίας, ὑφ' ἧς ἡμεῖς οἱ πρότερον εὐτυχεῖς ἐπορθούμεθα.
power by which we the formerly fortunate were-ravaged
115 μόνους γὰρ Ἰουδαίους ὑπεβλέπετο, ὡς δὴ μόνους τἀναντία
alone for Jews he-eyed-askance as indeed alone the-opposite
προῃρημένους καὶ δεδιδαγμένους ἐξ αὐτῶν τρόπον τινὰ
having-chosen and having-been-taught from very in-a-way some
σπαργάνων ὑπὸ γονέων καὶ παιδαγωγῶν καὶ ὑφηγητῶν
swaddling-clothes by parents and tutors and guides
καὶ πολὺ πρότερον τῶν ἱερῶν νόμων καὶ ἔτι τῶν ἀγράφων
and much earlier the sacred laws and still the unwritten
ἐθῶν ἕνα νομίζειν τὸν πατέρα καὶ ποιητὴν τοῦ κόσμου θεόν.
customs one to-believe the father and maker of-the cosmos god
116 οἱ μὲν γὰρ ἄλλοι πάντες, ἄνδρες, γυναῖκες, πόλεις,
the indeed for others all men women cities
ἔθνη, χῶραι, κλίματα γῆς, ὀλίγου δέω φάναι πᾶσα ἡ
nations countries regions of-earth little I-lack to-say all the

οἰκουμένη, καίτοι στένοντες ἐπὶ τοῖς γινομένοις, οὐδὲν
inhabited-world and-yet groaning at the-things happening no
ἧττον ἐκολάκευον αὐτὸν ἀποσεμνύνοντες πλέον τοῦ
less flattered him exalting-him more than-the
μετρίου καὶ τὸν τῦφον συναύξοντες. ἔνιοι δὲ καὶ τὸ
moderate and the vanity helping-increase some and even the
βαρβαρικὸν ἔθος εἰς Ἰταλίαν ἤγαγον, τὴν προσκύνησιν,
barbarian custom into Italy brought the prostration
τὸ εὐγενὲς τῆς Ῥωμαϊκῆς ἐλευθερίας παραχαράττοντες.
the nobility of-the Roman freedom debasing
ἓν δὲ μόνον ἔθνος ἐξαίρετον τῶν Ἰουδαίων ὕποπτον 117
one but only nation exceptional of-the Jews suspect
ἦν ἀντιπράξειν, εἰωθὸς ἑκουσίους ἀναδέχεσθαι θανάτους
was going-to-oppose accustomed willing to-accept deaths
ὥσπερ ἀθανασίαν, ὑπὲρ τοῦ μηδὲν τῶν πατρίων περιιδεῖν
as immortality for the nothing of-the ancestral to-overlook
ἀναιρούμενον, εἰ καὶ βραχύτατον εἴη, διὰ τὸ καθάπερ
being-destroyed if even smallest it-be because-of the as
ἐπὶ τῶν οἰκοδομημάτων ὑφαιρέσει ἑνὸς καὶ τὰ ἔτι
in-the-case-of the buildings by-removal of-one even the-things still
παγίως ἑστάναι δοκοῦντα συμπίπτειν πρὸς τὸ κενωθὲν
firmly to-stand seeming to-collapse toward the emptied-place
χαλώμενα καὶ καταρρέοντα.
slackening and falling-down
μικρὸν δὲ οὐκ ἦν τὸ κινούμενον, ἀλλὰ τὸ μέγιστον τῶν 118
small and not was the(-thing) being-moved but the greatest of-the
ὄντων, ἀνθρώπου γενητὴν καὶ φθαρτὴν φύσιν εἰς ἀγένητον
things-that-are of-man created and perishable nature into uncreated
καὶ ἄφθαρτον ὅσα τῷ δοκεῖν θεοπλαστῆσαι, ὅπερ
and incorruptible as-far-as by-the seeming to-make-a-god which
ἀσεβημάτων ἔκρινεν εἶναι χαλεπώτατον — θᾶττον γὰρ ἂν
of-impieties it-judged to-be hardest sooner for —

εἰς ἄνθρωπον θεὸν ἢ εἰς θεὸν ἄνθρωπον μεταβαλεῖν—,
into man god than into god man to-change
δίχα τοῦ καὶ τὰς ἄλλας τὰς ἀνωτάτω κακίας
apart-from the also the other the highest vices
ἀναδέξασθαι, ἀπιστίαν ὁμοῦ καὶ ἀχαριστίαν πρὸς τὸν τοῦ
to-take-on unbelief at-once and ingratitude toward the of-the
κόσμου παντὸς εὐεργέτην, ὃς τῇ αὑτοῦ δυνάμει τοῖς μέρεσι
cosmos whole benefactor who by-the his-own power to-the parts
πᾶσι τοῦ παντὸς ἀφθόνους περιουσίας ἀγαθῶν ἐκδίδωσιν.
all of-the universe abundant supplies of-goods gives-out
119 Μέγιστος οὖν καὶ ἀκήρυκτος πόλεμος ἐπὶ τῷ ἔθνει
greatest then and undeclared war against the nation
συνεκροτεῖτο. τί γὰρ ἂν εἴη δούλῳ βαρύτερον
was-being-hammered-together what for — would-be for-slave heavier
κακὸν ἢ δεσπότης ἐχθρός; δοῦλοι δὲ αὐτοκράτορος οἱ
evil than master hostile slaves and of-emperor the
ὑπήκοοι, καὶ εἰ μηδενὸς ἑτέρου τῶν προτέρων διὰ τὸ
subjects even if of-none other of-the earlier because-of the
σὺν ἐπιεικείᾳ καὶ μετὰ νόμων ἄρχειν, ἀλλά τοι Γαΐου
with fairness and with laws to-rule but indeed of-Gaius
πᾶσαν ἐκτετμημένου τῆς ψυχῆς ἡμερότητα καὶ παρανομίαν
all having-cut-out of-the soul gentleness and lawlessness
ἐζηλωκότος — νόμον γὰρ ἡγούμενος ἑαυτὸν τοὺς τῶν
having-emulated law for thinking himself the(-laws) of-the
ἑκασταχοῦ νομοθετῶν ὡς κενὰς ῥήσεις ἔλυεν—· ἡμεῖς δὲ οὐ
everywhere lawgivers as empty sayings he-dissolved we but not
μόνον ἐν δούλοις ἀλλὰ καὶ δούλων τοῖς ἀτιμοτάτοις
only among slaves but also of-slaves among-the most-dishonored
ἐγραφόμεθα τοῦ ἄρχοντος τρέποντος εἰς δεσπότην.
were-enrolled the ruler turning into master

ὅπερ συναισθόμενος ὁ Ἀλεξανδρέων μιγὰς καὶ πεφορημένος 120
which having-perceived the of-Alexandrians mixed and jumbled
ὄχλος ἐπέθετο ἡμῖν, καιρὸν ἐπιτηδειότατον παραπεπτωκέναι
crowd attacked us occasion most-suitable to-have-fallen-out
ὑπολαβών, καὶ τὸ τυφόμενον ἐκ μακρῶν χρόνων μῖσος
having-supposed and the smoldering from long times hatred
ἀνέφηνε πάντα κυκῶν καὶ συνταράττων.
revealed all-things stirring-up and throwing-into-confusion
ὡς γὰρ ἐκδοθέντας εἰς ὁμολογουμένας καὶ τὰς ἀνωτάτω 121
as for handed-over to acknowledged and the highest
συμφορὰς ὑπὸ τοῦ αὐτοκράτορος ἢ πολέμῳ κατακρατηθέντας
misfortunes by the emperor or in-war overpowered
ἐκμανέσι καὶ θηριωδεστάταις ὀργαῖς κατειργάζοντο, ταῖς
with-frenzied and most-bestial angers they-worked-against-us at-the
οἰκίαις ἐπιτρέχοντες, τοὺς δεσπότας αὐταῖς γυναιξὶ καὶ
houses running the masters with-very wives and
τέκνοις ἐλαύνοντες, ὡς κενὰς οἰκητόρων ἀποφῆναι.
children driving-out so-as empty of-inhabitants to-render-them
ἔπιπλα καὶ κειμήλια οὐκέτι ὡς λῃσταὶ νύκτα καὶ σκότος 122
furniture and treasures no-longer like robbers night and darkness
ἐπιτηροῦντες διὰ φόβον ἁλώσεως ἔκλεπτον, ἀλλὰ φανερῶς
watching-for through fear of-capture they-stole but openly
μεθ᾽ ἡμέραν ἐξεφόρουν ἐπιδεικνύμενοι τοῖς ἀπαντῶσιν,
by day they-carried-out displaying-them to-those meeting-them
ὥσπερ οἱ κεκληρονομηκότες ἢ πριάμενοι παρὰ τῶν κυρίων.
as those having-inherited or having-bought from the owners
εἰ δὲ καὶ πλείους συνέθεντο κοινοπραγῆσαι τῶν ἁρπαγῶν,
if and even several agreed to-share of-the seizures
τὴν λείαν ἐν ἀγορᾷ μέσῃ διενέμοντο, πολλάκις ἐν ὄψεσι
the plunder in market-place middle they-divided often in sight
τῶν δεσποτῶν, κατακερτομοῦντες καὶ ἐπιχλευάζοντες.
of-the masters jeering and mocking

123 δεινὰ μὲν οὖν καθ᾽ ἑαυτὰ καὶ ταῦτα· πῶς γὰρ οὔ;
terrible indeed then by themselves also these-things how for not
πένητας ἐκ πλουσίων καὶ ἀπόρους ἐξ εὐπόρων γεγενῆσθαι
poor from rich and destitute from well-off to-have-become
μηδὲν ἀδικοῦντας ἐξαίφνης καὶ ἀνοίκους καὶ ἀνεστίους,
in-nothing doing-wrong suddenly and houseless and hearthless
ἐξεωσμένους καὶ πεφυγαδευμένους τῶν ἰδίων οἰκιῶν, ἵνα
thrust-out and banished from-the own houses so-that
μεθ᾽ ἡμέραν καὶ νύκτωρ ὕπαιθροι διατελοῦντες ἢ ταῖς ἀφ᾽
by day and by-night under-the-sky continuing either by-the from
ἡλίου φλογώσεσιν ἢ νυκτεριναῖς περιψύξεσι διαφθαρῶσι.
sun burnings or by-nocturnal chills they-might-perish

VII · THE POGROM AT ALEXANDRIA

Worse follows: the Jews are herded into one narrow quarter to die of hunger, crowding, and heat, and when they pour out to the shore and the tombs, those caught elsewhere or watched for as they come out are stoned, beaten, and killed. Others are robbed at the harbors and burned with their own ships' timbers, or burned in the city, or dragged by the ankles until their bodies are torn apart. The governor, who could end the mob's rule in an hour, looks on. The mob then wrecks and burns the prayer-houses and sets up images of Gaius in them, even an old chariot statue, hoping for praise; yet the Ptolemies were never honored so there, though Egyptians who deify dogs and wolves would readily deify men. Perhaps, they will say, the emperors deserve more than the Ptolemies did.

124 κουφότερα δὲ τῶν μελλόντων λέγεσθαι ταῦτα·
lighter but than-the-things going to-be-said these-things
συνελάσαντες γὰρ τοσαύτας μυριάδας ἀνδρῶν ὁμοῦ καὶ
having-driven-together for so-many tens-of-thousands of-men together and
γυναικῶν καὶ τέκνων καθάπερ βοσκήματα καὶ θρέμματα
women and children like cattle and flocks

ἐξ ἁπάσης τῆς πόλεως εἰς μοῖραν ἐλαχίστην οἷά τινα
from all the city into portion smallest as some
σηκόν, ὠήθησαν ὀλίγαις ἡμέραις σωροὺς ἀθρόων νεκρῶν
fold they-thought in-few days heaps of-crowded corpses
ἐφευρήσειν ἢ λιμῷ διαφθαρέντων διὰ σπάνιν τῶν
to-be-going-to-find either by-famine destroyed through scarcity of-the
ἀναγκαίων, οὐ προευτρεπισμένων τὰ ἐπιτήδεια κατὰ
necessities not having-prepared-beforehand the provisions by
μαντείαν τῶν ἐξαπιναίων κακοπραγιῶν,
divination of-the sudden misfortunes
ἢ δι᾽ ὠθισμὸν καὶ πνῖγος, μηδεμιᾶς εὐρυχωρίας 125
or through crowding and stifling no room
προσφερομένης, ἀλλὰ καὶ τοῦ πέριξ ἀέρος κακωθέντος
being-offered but also the surrounding air having-been-corrupted
καὶ ὅσον ἦν ἐν αὐτῷ ζωτικὸν ταῖς ἀναπνοαῖς, εἰ
and as-much-as was in it life-giving for-the breathings if
δὲ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τοῖς ἐκπνεόντων ἄσθμασιν
but it-is-needful the truth to-say by-the of-the-dying gasps
ὑποβαλόντος, ὑφ᾽ ὧν φλεγόμενος καὶ τρόπον τινὰ
having-submitted by which inflamed and in-a-way some
καταβολῇ πυρετοῦ πιεσθεὶς θερμὸν καὶ ἄτοπον πνεῦμα
by-attack of-fever oppressed hot and strange breath
διὰ μυκτήρων καὶ στόματος εἰσέπεμπε, τὸ λεγόμενον
through nostrils and mouth it-sent-in the saying
κατὰ τὴν παροιμίαν πῦρ ἐπιφέρων πυρί.
according-to the proverb fire bringing to-fire
τῶν γὰρ ἐντὸς σπλάγχνων ἡ δύναμις ἐκ φύσεως 126
of-the for inside entrails the power from nature
φλογωδεστάτη καθέστηκεν, ἣν ὅταν μὲν αἱ θύραθεν αὖραι
most-fiery is-constituted which when indeed the outside breezes
μετρίως ψυχραὶ καταπνέωσιν, εὐοδεῖ τὰ τῆς ἀναπνοῆς
moderately cool blow-down go-well the of-the breathing

ὄργανα ταῖς εὐκρασίαις, ὅταν δὲ μεταβάλωσι πρὸς τὸ
organs by-the good-temperings when but they-change to the
θερμότερον, ἀνάγκη δυσοδεῖν πυρὸς ἐπεισρέοντος πυρί.
hotter necessity to-go-badly fire flowing-in on-fire
127 μηκέτι οὖν ὑπομένειν τὴν δυσχωρίαν οἷοί τε ὄντες
no-longer then to-endure the confinement able — being
ἐξεχέοντο εἰς ἐρημίας καὶ αἰγιαλοὺς καὶ μνήματα,
they-poured-out into deserts and beaches and tombs
γλιχόμενοι σπάσαι καθαροῦ καὶ ἀβλαβοῦς ἀέρος. εἰ
longing to-draw-in of-pure and harmless air if
δέ τινες ἢ προκατελήφθησαν ἐν τοῖς ἄλλοις μέρεσι
but some either were-caught-beforehand in the other parts
τῆς πόλεως ἢ ἀγνοίᾳ τῶν κατασκηψάντων κακῶν
of-the city or in-ignorance of-the having-fallen evils
ἀγρόθεν παρεγένοντο, πολυτρόπων ἀπέλαυον συμφορῶν,
from-the-country arrived various reaped misfortunes
ἢ καταλευόμενοι ἢ κεράμῳ τιτρωσκόμενοι ἢ πρίνου
either being-stoned or with-tile being-wounded or with-holm-oak
κλάδοις καὶ δρυὸς τὰ καιριώτατα μέρη τοῦ σώματος καὶ
branches and oak the most-vital parts of-the body and
μάλιστα κεφαλὴν ἄχρι θανάτου καταγνύμενοι.
most head to death being-broken
128 περικαθήμενοι δὲ ἐν κύκλῳ τινὲς τῶν ἀργεῖν καὶ
sitting-around and in circle some of-those to-be-idle and
σχολάζειν εἰωθότων τοὺς συνεληλαμένους καὶ συνεωσμένους
to-have-leisure accustomed those driven-together and crushed-together
εἰς ἐσχατιᾶς βραχύ τι μέρος, ὡς ἔφην, καθάπερ τοὺς
into of-farthest small some part as I-said as those
τειχήρεις γεγονότας ἐπετήρουν, μή τις ὑπεξέλθῃ λαθών.
walled-in having-become they-watched lest anyone slip-out unnoticed
ἔμελλον δὲ ἄρα οὐκ ὀλίγοι διὰ σπάνιν τῶν ἀναγκαίων
were-going but then not few through scarcity of-the necessities

ἀλογήσαντες τῆς ἰδίας ἀσφαλείας ἐξιέναι, δέει τοῦ
having-disregarded the own safety to-go-out through-fear of-the
μὴ λιμῷ πανοίκιοι παραπολέσθαι. τούτων τὰς
not by-famine with-all-their-household to-perish of-these the
διαλύσεις καραδοκοῦντες ἐπετήρουν καὶ τοὺς συλληφθέντας
dispersals awaiting they-watched and those caught
εὐθὺς διέφθειρον αἰκιζόμενοι πάσαις αἰκίαις.
at-once they-destroyed torturing-them with-all tortures
ἕτερος δὲ λόχος ἦν ἐφεδρεύων τοῖς τοῦ ποταμοῦ λιμέσι 129
another and band was lying-in-wait at-the of-the river harbors
πρὸς ἁρπαγὴν τῶν καταγομένων Ἰουδαίων καὶ ὧν
for seizure of-the putting-in Jews and of-what
κατ᾽ ἐμπορίαν ἐκόμιζον· ἐπεισβαίνοντες γὰρ ταῖς ναυσὶ
for trade they-brought boarding for the ships
τὸν φόρτον ἐν ὄψεσι τῶν κυρίων ἐξεφόρουν καὶ αὐτοὺς
the cargo in sight of-the owners they-carried-out and them
ἐξαγκωνίζοντες ἐνεπίμπρασαν, ὕλῃ χρώμενοι πηδαλίοις,
binding-their-arms they-burned as-material using rudders
οἴαξι, κοντοῖς καὶ ταῖς ἐπὶ τῶν καταστρωμάτων σανίσι.
tillers poles and the on the decks planks
τοῖς δὲ ἐν μέσῃ τῇ πόλει κατακαιομένοις οἰκτρότατος 130
for-those but in middle the city being-burned most-pitiable
ἦν ὄλεθρος· σπάνει γὰρ ἔστιν ὅτε ξύλων φρύγανα
was destruction through-scarcity for it-is when of-wood brushwood
συνεφόρουν καὶ ταῦτα ἀνάψαντες ἐπερρίπτουν τοῖς ἀθλίοις·
they-gathered and these having-kindled threw on-the wretched
οἱ δὲ ἡμίφλεκτοι καπνῷ τὸ πλέον ἢ πυρὶ διεφθείροντο,
they and half-burned by-smoke the more than by-fire were-destroyed
τῆς φρυγανώδους ὕλης πῦρ μὲν ἀμενηνὸν καὶ καπνῶδες
the brushy material fire indeed feeble and smoky

ἐξαπτούσης καὶ αὐτίκα σβεννυμένης, ἀνθρακοῦσθαι δὲ
kindling and at-once being-quenched to-turn-to-coal but
διὰ κουφότητα μὴ δυναμένης.
through lightness not being-able

131 πολλοὺς δὲ ἔτι ζῶντας ἱμάσι καὶ βρόχοις περιβαλόντες
many and still living with-thongs and nooses having-thrown-around
καὶ ἐπισφίγξαντες τὰ σφυρὰ διὰ μέσης κατέσυρον
and having-bound the ankles through middle they-dragged
ἀγορᾶς ἐναλλόμενοι καὶ μηδὲ νεκρῶν ἀπεχόμενοι τῶν
market-place leaping-on-them and not-even from-dead abstaining the
σωμάτων· διαρτῶντες γὰρ αὐτὰ κατὰ μέλη καὶ μέρη καὶ
bodies dismembering for them by limbs and parts and
πατοῦντες οἱ καὶ τῶν ἀτιθάσων θηρίων ὠμότεροι καὶ
trampling they even than-the untamed beasts crueler and
ἀγριώτεροι πᾶσαν ἰδέαν ἐξανήλισκον, ὡς μηδὲ λείψανον
wilder every form destroyed so-that not-even remnant
γοῦν ὃ δυνήσεται ταφῆς ἐπιλαχεῖν ὑπολιπέσθαι.
at-least which will-be-able of-burial to-obtain to-be-left

132 Τοῦ δὲ ἐπιτρόπου τῆς χώρας, ὃς μόνος ἐδύνατο βουληθεὶς
the and governor of-the country who alone could having-wished
ὥρᾳ μιᾷ τὴν ὀχλοκρατίαν καθελεῖν, προσποιουμένου
in-hour one the mob-rule to-destroy pretending
ἅ τε ἑώρα μὴ ὁρᾶν καὶ ὧν ἤκουε μὴ ἐπακούειν,
the-things both he-saw not to-see and what he-heard not to-hear
ἀλλ᾽ ἀνέδην ἐφιέντος πολεμοποιεῖν καὶ τὴν εἰρήνην
but freely allowing to-make-war and the peace
συγχέοντος, ἔτι μᾶλλον ἐξοτρυνόμενοι πρὸς ἀναισχύντους
confounding still more being-spurred-on to shameless
καὶ θρασυτέρας ὥρμησαν ἐπιβουλὰς καὶ συνταξάμενοι
and bolder they-rushed plots and having-formed
στίφη πολυανθρωπότατα τὰς προσευχάς — πολλαὶ δέ
bands most-populous the prayer-houses many and

εἰσι καθ' ἕκαστον τμῆμα τῆς πόλεως — τὰς μὲν
are in each quarter of-the city the(-ones) indeed
ἐδενδροτόμησαν τὰς δὲ αὐτοῖς θεμελίοις κατέσκαψαν,
they-cut-down-the-trees-of the(-others) and with-very foundations razed
εἰς ἃς δὲ καὶ πῦρ ἐμβαλόντες ἐνέπρησαν, ὑπὸ λύττης
into which and also fire having-thrown they-burned through rage
καὶ μανίας ἔκφρονος ἀλογήσαντες καὶ τῶν πλησίον οἰκιῶν·
and madness senseless having-disregarded also the near houses
πυρὸς γάρ, ὁπότε λάβοιτο ὕλης, οὐδὲν ὠκύτερον.
than-fire for whenever it-takes-hold of-material nothing swifter
καὶ σιωπῶ τὰς συγκαθαιρεθείσας καὶ συμπρησθείσας τῶν 133
and I-pass-over the destroyed-together and burned-together of-the
αὐτοκρατόρων τιμὰς ἀσπίδων καὶ στεφάνων ἐπιχρύσων
emperors honors of-shields and crowns gilded
καὶ στηλῶν καὶ ἐπιγραφῶν, δι' ἃ καὶ τῶν ἄλλων
and pillars and inscriptions on-account-of which also from-the others
ὤφειλον ἀνέχειν· ἀλλ' ἐθάρρουν ἅτε τὴν ἐκ Γαΐου τίσιν
they-ought to-refrain but they-were-bold as the from Gaius punishment
οὐ δεδιότες, ὃν εὖ ἠπίσταντο μῖσος ἄλεκτον ἔχοντα πρὸς
not fearing whom well they-knew hatred unspeakable having toward
Ἰουδαίους, ὡς ὑπονοεῖν, ὅτι οὐδεὶς οὐδὲν αὐτῷ χαρίζοιτο
Jews so-as to-suspect that no-one anything to-him could-do-a-favor
μεῖζον ἢ πάσας κακῶν ἰδέας ἐπιφέρων τῷ ἔθνει.
greater than all of-evils forms bringing on-the nation
βουλόμενοι δὲ καινοτέραις κολακείαις ὑπελθόντες αὐτὸν 134
wishing and with-newer flatteries having-crept-upon him
ἀνυπευθύνοις χρῆσθαι κατὰ τὸ παντελὲς ταῖς εἰς ἡμᾶς
unaccountable to-use in the complete the toward us
ἐπηρείαις τί ποιοῦσι; προσευχὰς ὅσας μὴ ἐδυνήθησαν
insults what do-they-do prayer-houses as-many-as not they-could
ἐμπρήσεσι καὶ κατασκαφαῖς ἀφανίσαι διὰ τὸ πολλοὺς
by-burnings and razings to-make-vanish because-of the many

καὶ ἀθρόους πλησίον οἰκεῖν Ἰουδαίους ἕτερον τρόπον
and in-throngs near to-dwell Jews in-another way
ἐλυμήναντο μετὰ τῆς τῶν νόμων καὶ ἐθῶν ἀνατροπῆς·
they-outraged with the of-the laws and customs overthrow
εἰκόνας γὰρ ἐν ἁπάσαις μὲν ἱδρύοντο Γαΐου, ἐν δὲ
images for in all indeed they-set-up of-Gaius in but
τῇ μεγίστῃ καὶ περισημοτάτῃ καὶ ἀνδριάντα χαλκοῦν
the greatest and most-famous also statue bronze
ἐποχούμενον τεθρίππῳ.
mounted-on four-horse-chariot
135 καὶ τοσοῦτον ἦν τὸ τάχος καὶ τὸ σύντονον τῆς
and so-great was the speed and the intensity of-the
σπουδῆς, ὥστε οὐκ ἔχοντες ἐν ἑτοίμῳ καινὸν τέθριππον
zeal that not having at hand new four-horse-chariot
ἐκ τοῦ γυμνασίου παλαιότατον ἐκόμιζον ἰοῦ γέμον,
from the gymnasium most-ancient they-brought with-rust full
ἠκρωτηριασμένον ὦτα καὶ οὐρὰς καὶ βάσεις καὶ ἕτερα οὐκ
mutilated ears and tails and feet and others not
ὀλίγα, ὡς δέ φασί τινες καὶ ὑπὲρ γυναικὸς ἀνατεθὲν τῆς
few as and they-say some even for woman dedicated of-the
ἀρχαίας Κλεοπάτρας, ἥτις ἦν προμάμμη τῆς τελευταίας.
ancient Cleopatra who was great-grandmother of-the last
136 ἡλίκην μὲν οὖν καθ᾽ αὑτὸ τοῦτο τοῖς ἀναθεῖσιν ἐπέφερε
how-great indeed then by itself this on-those having-dedicated brought
κατηγορίαν, παντί τῳ δῆλον. τί γάρ, εἰ καὶ καινὸν γυναικός;
charge to-every one clear what for if even new of-woman
τί δέ, εἰ παλαιὸν ἀνδρός; τί δέ, εἰ συνόλως ἐπιφημισθὲν
what and if old of-man what and if altogether dedicated
ἑτέρῳ; τοὺς τοιοῦτον ἀνατιθέντας ὑπὲρ αὐτοκράτορος οὐκ
to-another those such dedicating for emperor not

εἰκὸς ἦν εὐλαβηθῆναι, μή τις γένηται μήνυσις τῷ
likely was to-take-care lest any be information to-the(-one)
πάντα σεμνοποιοῦντι τὰ καθ' αὑτὸν διαφερόντως;
all-things exalting the-things concerning himself exceedingly
οἱ δέ γε ἐκ πολλοῦ τοῦ περιόντος ἤλπιζον ἐπαινεθήσεσθαι 137
they but at-least from much the excess hoped to-be-going-to-be-praised
καὶ μειζόνων καὶ λαμπροτέρων ἀπολαύσειν ἀγαθῶν ἕνεκα
and greater and more-brilliant to-be-going-to-enjoy goods for-the-sake
τοῦ καινὰ τεμένη προσαναθεῖναι Γαΐῳ τὰς προσευχάς,
of-the new precincts to-dedicate-besides to-Gaius the prayer-houses
οὐχ ἕνεκα τιμῆς τῆς εἰς ἐκεῖνον, ἀλλ' ὑπὲρ τοῦ πάντα
not for-the-sake of-honor the toward him but for the every
τρόπον ἐμφορεῖσθαι τῶν ἐπὶ τῷ ἔθνει κακοπραγιῶν.
way to-glut-themselves of-the against the nation misfortunes
ἐναργεῖς δὲ πίστεις λαβεῖν ἔστι· πρῶτον μὲν ἀπὸ 138
clear and proofs to-take it-is-possible first indeed from
τῶν βασιλέων· δέκα που σχεδὸν ἢ καὶ πλειόνων ἐν
the kings ten somewhere nearly or even more in
τριακοσίοις ἔτεσιν ἑξῆς γενομένων, ἀνάθεσιν εἰκόνων
three-hundred years in-succession having-been dedication of-images
ἢ ἀνδριάντων ἐν προσευχαῖς οὐδεμίαν ἐποιήσαντο, καίτοι
or of-statues in prayer-houses none they-made and-yet
γε οἰκείων ὄντων καὶ συγγενῶν, οὓς θεοὺς καὶ ἐνόμιζον
indeed their-own being and kin whom gods both they-thought
καὶ ἔγραφον καὶ ἐκάλουν.
and wrote and called
τί δὲ οὐκ ἔμελλον ἀνθρώπους γε ὄντας οἱ 139
why and not were-they-going men at-least being they-who
κύνας καὶ λύκους καὶ λέοντας καὶ κροκοδείλους καὶ
dogs and wolves and lions and crocodiles and
ἄλλα πλείονα θηρία καὶ ἔνυδρα καὶ χερσαῖα καὶ πτηνὰ
other more beasts both aquatic and land and winged

θεοπλαστοῦντες, ὑπὲρ ὧν βωμοὶ καὶ ἱερὰ καὶ ναοὶ καὶ
deifying for which altars and shrines and temples and
τεμένη κατὰ πᾶσαν Αἴγυπτον ἵδρυνται;
precincts through all Egypt have-been-set-up
140 τάχα που νῦν φήσουσι τότε οὐκ ἂν εἰπόντες — τὰς γὰρ
perhaps somewhere now they-will-say then not — having-said the for
τῶν ἀρχόντων εὐπραγίας μᾶλλον ἢ τοὺς ἄρχοντας αὐτοὺς
of-the rulers prosperities rather than the rulers themselves
εἰώθασι θεραπεύειν—, ὅτι μείζους μὲν οἱ αὐτοκράτορες
they-are-wont to-court that greater indeed the emperors
τὰ ἀξιώματα καὶ τὰς τύχας τῶν Πτολεμαίων εἰσί,
in-the dignities and the fortunes than-the Ptolemies are
μειζόνων δὲ καὶ τιμῶν τυγχάνειν ὀφείλουσιν.
of-greater and also honors to-obtain they-ought

VIII · AUGUSTUS AND THE JEWS

Why, then, was Tiberius, Gaius' predecessor, never so honored? Tiberius, noble, learned, and called an old man in his youth, was passed over, and so was Augustus, who calmed the storms of war, cleared the sea of pirates, freed the cities, and brought order and peace. Though honored everywhere, above all in Alexandria's Sebasteum, he received no image in the prayer-houses in his forty-three years, and never wished to be called a god. He let the Jews beyond the Tiber keep their prayer-houses and send first-fruits to Jerusalem, endowed daily sacrifices in the Temple, and, when the monthly dole fell on a Sabbath, had their share kept for the next day; and Tiberius knew, once Sejanus died, that the charges against the Jews of Rome were Sejanus' fictions.

141 εἶτα, ὦ πάντων ἀνθρώπων, ἵνα μηδὲν ἀναγκασθῶ
then O of-all men so-that nothing I-be-compelled
βλάσφημον εἰπεῖν, εὐηθέστατοι, διὰ τί τὸν πρὸ Γαΐου
blasphemous to-say most-simple-minded for what the before Gaius

Τιβέριον, ὃς κἀκείνῳ τῆς ἡγεμονίας αἴτιος γέγονε, τρία πρὸς
Tiberius who also-for-him of-the empire cause has-been three besides
τοῖς εἴκοσιν ἔτη γῆς καὶ θαλάσσης ἀναψάμενον τὸ κράτος
the twenty years of-land and sea having-fastened-on the power
καὶ μηδὲ σπέρμα πολέμου μήτε κατὰ τὴν Ἑλλάδα μήτε
and not-even seed of-war either throughout the Greek-world or
κατὰ τὴν βάρβαρον ὑποτυφόμενον ἐάσαντα, τὴν δὲ εἰρήνην
throughout the barbarian smoldering having-allowed the but peace
καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ παρασχόμενον ἄχρι τῆς τοῦ
and the-things of-the peace goods having-provided until the of-the
βίου τελευτῆς ἀφθόνῳ καὶ πλουσίᾳ χειρὶ καὶ γνώμῃ, τῆς
life end with-abundant and rich hand and mind of-the
ὁμοίας τιμῆς οὐκ ἠξιώσατε; τὸ γένος ἦν ἐλάττων;
like honor not did-you-deem-worthy the birth was-he inferior
ἀλλ᾽ εὐγενέστατος κατ᾽ ἀμφοτέρους τοὺς γονεῖς. ἀλλὰ τὴν 142
but most-noble on both the parents but the
παιδείαν; καὶ τίς ἦν φρονιμώτερος ἢ λογιώτερος ἐκείνου
education and who was wiser or more-learned than-him
τῶν κατ᾽ αὐτὸν ἀκμασάντων; ἀλλὰ τὴν ἡλικίαν; καὶ
of-those in his-time having-flourished but the age and
ποῖος μᾶλλον ἢ βασιλέων ἢ αὐτοκρατόρων εὐγήρως;
what-sort rather either of-kings or of-emperors in-happy-old-age
οὐ μὴν ἀλλὰ καὶ ἔτι νέος ὢν ὁ πρεσβύτης ἐλέγετο
not indeed but even still young being the old-man he-was-called
δι᾽ αἰδῶ τὴν περὶ τὴν ἀγχίνοιαν. οὗτος οὖν ὁ τοιοῦτος
through respect the for the shrewdness this-one then the such
καὶ τοσοῦτος ὑμῖν παρώφθη καὶ παρεσύρη. τί δέ;
and so-great by-you was-overlooked and was-swept-aside what and
ὁ τὴν ἀνθρωπίνην φύσιν ὑπερβαλὼν ἐν ἁπάσαις ταῖς 143
the(-one) the human nature having-surpassed in all the
ἀρεταῖς, ὁ διὰ μέγεθος ἡγεμονίας αὐτοκρατοῦς ὁμοῦ
virtues the(-one) through greatness of-rule absolute at-once

καὶ καλοκαγαθίας πρῶτος ὀνομασθεὶς Σεβαστός, οὐ
and of-nobility first having-been-named Augustus not
διαδοχῇ γένους ὥσπερ τι κλήρου μέρος τὴν ἐπωνυμίαν
by-succession of-family as some of-inheritance part the title
λαβών, ἀλλ' αὐτὸς γενόμενος ἀρχὴ σεβασμοῦ καὶ
having-received but himself having-become beginning of-reverence also
τοῖς ἔπειτα; ὁ τοῖς μὲν πράγμασι τεταραγμένοις
for-those after the(-one) the indeed affairs disordered
καὶ συγκεχυμένοις ἐπιστάς, ὅτε εὐθὺς παρῆλθεν ἐπὶ
and confounded having-taken-charge-of when at-once he-came-forward to
τὴν τῶν κοινῶν ἐπιμέλειαν;
the of-the public-things care

144 νῆσοι γὰρ πρὸς ἠπείρους καὶ ἤπειροι πρὸς νήσους
islands for against mainlands and mainlands against islands
περὶ πρωτείων ἀντεφιλονείκουν ἡγεμόνας ἔχουσαι καὶ
about first-place contended as-leaders having and
προαγωνιστὰς Ῥωμαίων τοὺς ἐν τέλει δοκιμωτάτους·
champions of-Romans those in office most-approved
καὶ αὖθις τὰ μεγάλα τμήματα τῆς οἰκουμένης, Ἀσία
and again the great divisions of-the inhabited-world Asia
πρὸς Εὐρώπην καὶ Εὐρώπη πρὸς Ἀσίαν, ἠμιλλῶντο
against Europe and Europe against Asia strove
περὶ κράτους ἀρχῆς, τῶν Εὐρωπαίων καὶ Ἀσιανῶν
about power of-rule of-the European and Asian
ἐθνῶν ἀπὸ ἐσχάτων γῆς ἀναστάντων καὶ βαρεῖς
nations from ends of-earth having-risen-up and heavy
πολέμους ἀντεπιφερόντων διὰ πάσης γῆς καὶ θαλάττης
wars bringing-against-each-other through all land and sea
πεζομαχίαις καὶ ναυμαχίαις, ὡς μικροῦ σύμπαν τὸ
by-land-battles and sea-battles so-that nearly whole the
ἀνθρώπων γένος ἀναλωθὲν ταῖς ἀλληλοκτονίαις εἰς τὸ
of-men race consumed by-the mutual-slaughters into the

παντελὲς ἀφανισθῆναι, εἰ μὴ δι᾽ ἕνα ἄνδρα καὶ ἡγεμόνα,
complete to-be-annihilated if not through one man and leader
τὸν Σεβαστόν, ὃν ἄξιον καλεῖν ἀλεξίκακον.
— Augustus whom worthy to-call averter-of-evil
οὗτός ἐστιν ὁ Καῖσαρ, ὁ τοὺς καταρράξαντας 145
this-one is — Caesar the(-one) the having-burst-forth
πανταχόθι χειμῶνας εὐδιάσας, ὁ τὰς κοινὰς νόσους
everywhere storms having-calmed the(-one) the common diseases
Ἑλλήνων καὶ βαρβάρων ἰασάμενος, αἳ κατέβησαν μὲν
of-Greeks and barbarians having-healed which came-down indeed
ἀπὸ τῶν μεσημβρινῶν καὶ ἑῴων, ἔδραμον δὲ καὶ μέχρι
from the southern and eastern-parts ran but even as-far-as
δύσεως καὶ πρὸς ἄρκτον, τὰ μεθόρια χωρία καὶ πελάγη
west and to north the border lands and seas
κατασπείρασαι τῶν ἀβουλήτων·
having-sown of-the unwished-for-things
οὗτός ἐστιν ὁ τὰ δεσμά, οἷς κατέζευκτο καὶ 146
this-one is the(-one) the bonds with-which had-been-yoked and
ἐπεπίεστο ἡ οἰκουμένη, παραλύσας, οὐ μόνον ἀνείς·
pressed the inhabited-world having-loosed not only having-slackened
οὗτος ὁ καὶ τοὺς φανεροὺς καὶ ἀφανεῖς πολέμους
this-one the(-one) also the open and hidden wars
διὰ τὰς ἐκ λῃστῶν ἐπιθέσεις ἀνελών· οὗτος ὁ
because-of the from robbers attacks having-destroyed this-one the(-one)
τὴν θάλατταν πειρατικῶν μὲν σκαφῶν κενὴν ἐργασάμενος,
the sea of-pirate indeed vessels empty having-made
φορτίδων δὲ πληρώσας·
with-merchantmen but having-filled
οὗτος ὁ τὰς πόλεις ἁπάσας εἰς ἐλευθερίαν ἐξελόμενος, 147
this-one the(-one) the cities all into freedom having-delivered
ὁ τὴν ἀταξίαν εἰς τάξιν ἀγαγών, ὁ τὰ ἄμικτα
the(-one) the disorder into order having-brought the(-one) the unsociable

ἔθνη καὶ θηριώδη πάντα ἡμερώσας καὶ ἁρμοσάμενος,
nations and bestial all having-tamed and having-harmonized
ὁ τὴν μὲν Ἑλλάδα Ἕλλάσι πολλαῖς παραυξήσας,
the(-one) — indeed Greece with-Greeces many having-enlarged
τὴν δὲ βάρβαρον ἐν τοῖς ἀναγκαιοτάτοις τμήμασιν
the but barbarian-world in the most-necessary divisions
ἀφελληνίσας, ὁ εἰρηνοφύλαξ, ὁ διανομεὺς τῶν
having-Hellenized the peace-guardian the distributor of-the-things
ἐπιβαλλόντων ἑκάστοις, ὁ τὰς χάριτας ἀταμιεύτους
falling to-each the(-one) the favors unstinted
εἰς μέσον προθείς, ὁ μηδὲν ἀποκρυψάμενος ἀγαθὸν
into middle having-set-forth the(-one) nothing having-hidden good
ἢ καλὸν ἐν ἅπαντι τῷ ἑαυτοῦ βίῳ.
or noble in all the his-own life

148 τοῦτον οὖν τὸν τοσοῦτον εὐεργέτην ἐν τρισὶ καὶ
this-one then the so-great benefactor in three and
τεσσαράκοντα ἐνιαυτοῖς, οὓς ἐπεκράτησεν Αἰγύπτου,
forty years in-which he-ruled Egypt
παρεκαλύψαντο, μηδὲν ἐν προσευχαῖς ὑπὲρ αὐτοῦ, μὴ
they-neglected nothing in prayer-houses for him neither
ἄγαλμα, μὴ ξόανον, μὴ γραφὴν ἱδρυσάμενοι.
statue nor wooden-image nor painting having-set-up

149 καὶ μὴν εἴ τινι καινὰς καὶ ἐξαιρέτους ἔδει ψηφίζεσθαι
and indeed if to-anyone new and exceptional it-was-needful to-vote
τιμάς, ἐκείνῳ προσῆκον ἦν, οὐ μόνον ὅτι τοῦ Σεβαστοῦ
honors to-him fitting it-was not only because of-the Augustan
γένους ἀρχή τις ἐγένετο καὶ πηγή, οὐδὲ ὅτι πρῶτος
house beginning some he-became and source nor because first
καὶ μέγιστος καὶ κοινὸς εὐεργέτης, ἀντὶ πολυαρχίας
and greatest and common benefactor instead-of rule-of-many
ἑνὶ κυβερνήτῃ παραδοὺς τὸ κοινὸν σκάφος οἰακονομεῖν
to-one pilot having-handed-over the common vessel to-steer

ἑαυτῷ, θαυμασίῳ τὴν ἡγεμονικὴν ἐπιστήμην — τὸ γὰρ
to-himself marvelous in-the governing science the for
"οὐκ ἀγαθὸν πολυκοιρανίη" λέλεκται δεόντως, ἐπειδὴ
not good rule-of-many has-been-said fittingly since
πολυτρόπων αἴτιαι κακῶν αἱ πολυψηφίαι—, ἀλλ' ὅτι καὶ
of-various causes evils the many-votes but because also
πᾶσα ἡ οἰκουμένη τὰς ἰσολυμπίους αὐτῷ τιμὰς ἐψηφίσαντο.
all the inhabited-world the equal-to-Olympian to-him honors voted
καὶ μαρτυροῦσι ναοί, προπύλαια, προτεμενίσματα, στοαί, 150
and bear-witness temples gateways forecourts porticoes
ὡς ὅσαι τῶν πόλεων, ἢ νέα ἢ παλαιά, ἔργα
so-that as-many-as of-the cities either new or old works
φέρουσι μεγαλοπρεπῆ, τῷ κάλλει καὶ μεγέθει τῶν
bear magnificent by-the beauty and size of-the
Καισαρείων παρευημερεῖσθαι, καὶ μάλιστα κατὰ τὴν
Caesar-temples to-be-outshone and most in the
ἡμετέραν Ἀλεξάνδρειαν.
our Alexandria
οὐδὲν γὰρ τοιοῦτόν ἐστι τέμενος, οἷον τὸ λεγόμενον 151
nothing for such is precinct as the so-called
Σεβαστεῖον, ἐπιβατηρίου Καίσαρος νεώς, ὃς ἀντικρὺ
Sebasteum of-embarking Caesar temple which opposite
τῶν εὐορμοτάτων λιμένων μετέωρος ἵδρυται μέγιστος
the best-anchored harbors on-high is-set-up greatest
καὶ ἐπιφανέστατος καὶ οἷος οὐχ ἑτέρωθι κατάπλεως
and most-conspicuous and such-as not elsewhere full
ἀναθημάτων, γραφαῖς καὶ ἀνδριάσι καὶ ἀργύρῳ καὶ
of-dedications with-paintings and statues and silver and
χρυσῷ περιβεβλημένος ἐν κύκλῳ, τέμενος εὐρύτατον
gold surrounded in a-circle precinct broadest
στοαῖς, βιβλιοθήκαις, ἀνδρῶσιν, ἄλσεσι, προπυλαίοις,
with-porticoes libraries men's-halls groves gateways

εὐρυχωρίαις, ὑπαίθροις, ἅπασι τοῖς εἰς πολυτελέστατον
open-spaces open-air all the-things for most-costly
κόσμον ἠσκημένον, ἐλπὶς καὶ ἀναγομένοις καὶ καταπλέουσι
adornment adorned hope both for-those-putting-out and for-those-putting-in
σωτήριος.
saving

152 ἔχοντες οὖν τοιαύτας ἀφορμὰς καὶ τοὺς πανταχοῦ πάντας
having then such resources and those everywhere all
ὁμογνώμονας οὔτε περὶ τὰς προσευχὰς ἐνεωτέρισαν καὶ καθ᾽
like-minded neither about the prayer-houses did-they-innovate and in
ἕκαστον τὸ νόμιμον ἐφύλαξαν· ἤ τινα σεβασμὸν παρέλιπον
each-thing the lawful they-kept or any reverence omitted
τῶν ὀφειλομένων Καίσαρι; καὶ τίς ἂν εὖ φρονῶν εἴποι;
of-the owed to-Caesar and who — well thinking would-say
διὰ τί οὖν ἐστέρησαν; ἐγὼ φράσω μηδὲν ὑποστειλάμενος.
for what then did-they-deprive I will-tell nothing having-held-back

153 ᾔδεσαν αὐτοῦ τὴν ἐπιμέλειαν καὶ ὅτι τοσαύτην ποιεῖται
they-knew his the care and that so-great he-makes
τῆς βεβαιώσεως τῶν παρ᾽ ἑκάστοις πατρίων, ὅσην
of-the confirmation of-the among each ancestral-things as-great-as
καὶ τῶν Ῥωμαϊκῶν, καὶ ὅτι δέχεται τὰς τιμὰς οὐκ ἐπὶ
also of-the Roman and that he-accepts the honors not for
καθαιρέσει τῶν παρ᾽ ἐνίοις νομίμων τυφοπλαστῶν ἑαυτόν,
destruction of-the among some customs puffing-up himself
ἀλλὰ τῷ μεγέθει τῆς τοσαύτης ἡγεμονίας ἑπόμενος, ἣ
but the greatness of-the so-great empire following which
διὰ τῶν τοιούτων πέφυκε σεμνοποιεῖσθαι.
through the such-things is-wont to-be-made-august

154 τοῦ δὲ μὴ ταῖς ὑπερόγκοις τιμαῖς δεθῆναι καὶ φυσηθῆναί
of-the and not by-the excessive honors to-be-bound and to-be-puffed-up
ποτε πίστις ἐναργεστάτη τὸ μηδέποτε θεὸν ἑαυτὸν
ever proof clearest the never god himself

ἐθελῆσαι προσειπεῖν, ἀλλὰ κἂν εἰ λέγοι τις δυσχεραίνειν,
to-have-wished to-call but even if should-say anyone to-be-annoyed
καὶ τὸ τοὺς Ἰουδαίους ἀποδέχεσθαι, οὓς ἀκριβῶς ᾔδει
and the the Jews to-accept whom precisely he-knew
πάντα ἀφοσιουμένους τὰ τοιαῦτα.
all-things renouncing the such-things
πῶς οὖν ἀπεδέχετο τὴν πέραν τοῦ Τιβέρεως ποταμοῦ 155
how then did-he-accept the beyond — Tiber river
μεγάλην τῆς Ῥώμης ἀποτομήν, ἣν οὐκ ἠγνόει
great — of-Rome division which not he-was-ignorant-of
κατεχομένην καὶ οἰκουμένην πρὸς Ἰουδαίων; Ῥωμαῖοι
occupied and inhabited by Jews Romans
δὲ ἦσαν οἱ πλείους ἀπελευθερωθέντες· αἰχμάλωτοι
and were the most freed captives
γὰρ ἀχθέντες εἰς Ἰταλίαν ὑπὸ τῶν κτησαμένων
for having-been-brought into Italy by those having-acquired-them
ἠλευθερώθησαν, οὐδὲν τῶν πατρίων παραχαράξαι
were-freed nothing of-the ancestral-things to-debase
βιασθέντες.
forced
ἠπίστατο οὖν καὶ προσευχὰς ἔχοντας καὶ συνιόντας εἰς 156
he-knew then also prayer-houses having and gathering into
αὐτάς, καὶ μάλιστα ταῖς ἱεραῖς ἑβδόμαις, ὅτε δημοσίᾳ τὴν
them and most on-the sacred sevenths when publicly the
πάτριον παιδεύονται φιλοσοφίαν. ἠπίστατο καὶ χρήματα
ancestral are-taught philosophy he-knew also money
συνάγοντας ἀπὸ τῶν ἀπαρχῶν ἱερὰ καὶ πέμποντας εἰς
collecting from the first-fruits sacred and sending to
Ἱεροσόλυμα διὰ τῶν τὰς θυσίας ἀναξόντων.
Jerusalem through those the sacrifices going-to-offer

157 ἀλλ᾽ ὅμως οὔτε ἐξῴκισε τῆς Ῥώμης ἐκείνους οὔτε
but nevertheless neither did-be-expel — from-Rome them nor
τὴν Ῥωμαϊκὴν αὐτῶν ἀφείλετο πολιτείαν, ὅτι καὶ τῆς
the Roman their took-away citizenship because also of-the
Ἰουδαϊκῆς ἐφρόντιζον, οὔτε ἐνεωτέρισεν εἰς τὰς προσευχὰς
Jewish they-took-thought nor innovated against the prayer-houses
οὔτε ἐκώλυσε συνάγεσθαι πρὸς τὰς τῶν νόμων ὑφηγήσεις
nor prevented to-gather for the of-the laws expositions
οὔτε ἠναντιώθη τοῖς ἀπαρχομένοις, ἀλλ᾽ οὕτως ὡσίωτο
nor opposed those offering-first-fruits but so he-had-been-reverent
περὶ τὰ ἡμέτερα, ὥστε μόνον οὐ πανοίκιος ἀναθημάτων
about the our-things that only not with-all-his-household of-dedications
πολυτελείαις τὸ ἱερὸν ἡμῶν ἐκόσμησε, προστάξας καὶ
with-costlinesses the temple our he-adorned having-ordered also
διαιωνίους ἀνάγεσθαι θυσίας ἐντελεχεῖς ὁλοκαύτους καθ᾽
perpetual to-be-offered sacrifices continual whole-burnt-offerings on
ἑκάστην ἡμέραν ἐκ τῶν ἰδίων προσόδων ἀπαρχὴν τῷ
each day from the own revenues first-fruit to-the
ὑψίστῳ θεῷ, αἳ καὶ μέχρι νῦν ἐπιτελοῦνται καὶ εἰς ἅπαν
highest god which even until now are-performed and for all-time
ἐπιτελεσθήσονται, μήνυμα τρόπων ὄντως αὐτοκρατορικῶν.
will-be-performed sign of-character truly imperial
158 οὐ μὴν ἀλλὰ κἀν ταῖς μηνιαίοις τῆς πατρίδος διανομαῖς,
not indeed but also-in the monthly of-the fatherland distributions
ἀργύριον ἢ σῖτον ἐν μέρει παντὸς τοῦ δήμου λαμβάνοντος,
money or grain in turn all the people receiving
οὐδέποτε τοὺς Ἰουδαίους ἠλάττωσε τῆς χάριτος, ἀλλ᾽ εἰ
never the Jews did-be-diminish of-the bounty but if
καὶ συνέβη τῆς ἱερᾶς ἑβδόμης ἐνεστώσης γενέσθαι τὴν
even it-happened the sacred seventh being-present to-take-place the
διανομήν, ὅτε οὔτε λαμβάνειν οὔτε διδόναι ἢ συνόλως τι
distribution when neither to-receive nor to-give or altogether anything

πράττειν τῶν κατὰ βίον καὶ μάλιστα τὸν πριστὴν
to-do of-the-things in life and most the money-making
ἐφεῖται, προσετέτακτο τοῖς διανέμουσι ταμιεύειν τοῖς
it-is-permitted it-had-been-ordered for-those distributing to-reserve for-the
Ἰουδαίοις εἰς τὴν ὑστεραίαν τὴν κοινὴν φιλανθρωπίαν.
Jews for the next-day the common humanity
Τοιγαροῦν οἱ πανταχοῦ πάντες, εἰ καὶ φύσει διέκειντο 159
therefore those everywhere all if even by-nature were-disposed
πρὸς Ἰουδαίους οὐκ εὐμενῶς, εὐλαβῶς εἶχον ἐπὶ καθαιρέσει
toward Jews not favorably cautiously were for destruction
τινὸς τῶν Ἰουδαϊκῶν νομίμων προσάψασθαι· καὶ ἐπὶ
of-any of-the Jewish customs to-lay-hand and in-the-time-of
Τιβερίου μέντοι τὸν αὐτὸν τρόπον, καίτοι τῶν ἐν Ἰταλίᾳ
Tiberius however in-the same way and-yet of-the in Italy
παρακινηθέντων, ἡνίκα Σηιανὸς ἐσκευώρει τὴν ἐπίθεσιν.
having-been-stirred-up when Sejanus contrived the attack
ἔγνω γάρ, εὐθέως ἔγνω μετὰ τὴν ἐκείνου τελευτήν, 160
he-knew for at-once he-knew after the his death
ὅτι τὰ κατηγορηθέντα τῶν ᾠκηκότων τὴν Ῥώμην
that the-things charged against-the having-lived-in — Rome
Ἰουδαίων ψευδεῖς ἦσαν διαβολαί, πλάσματα Σηιανοῦ τὸ
Jews false were slanders fictions of-Sejanus the
ἔθνος ἀναρπάσαι θέλοντος, ὅπερ ἢ μόνον ἢ μάλιστα
nation to-snatch-away wishing which either alone or most
ᾔδει βουλαῖς ἀνοσίοις καὶ πράξεσιν ἀντιβησόμενον ὑπὲρ
he-knew with-counsels unholy and deeds going-to-oppose for
τοῦ παρασπονδηθῆναι κινδυνεύσαντος αὐτοκράτορος.
the to-be-betrayed having-been-in-danger emperor

Tiberius likewise ordered his governors everywhere to reassure the Jews of the cities and to disturb none of their customs. Gaius, however, swells with the belief that he is a god, and the Alexandrians, who give that name even to ibises and asps, flatter him in it, so that he thinks himself truly worshiped there. Chief among the inciters is Helicon, an Egyptian slave, a scurrilous jester who rises to be Gaius' constant companion at ball, bath, and table, and who is said to be paid by the Alexandrian envoys to mix slanders of the Jews into his jokes. The Jewish envoys, unable to win him, resolve to hand Gaius a memorial summarizing their sufferings and requests.

161 καὶ τοῖς πανταχόσε χειροτονουμένοις ὑπάρχοις ἐπέσκηψε
and to-the everywhere being-appointed governors he-enjoined
παρηγορῆσαι μὲν τοὺς κατὰ πόλεις τῶν ἀπὸ τοῦ ἔθνους,
to-reassure indeed those in cities of-those from the nation
ὡς οὐκ εἰς πάντας προβάσης τῆς ἐπεξελεύσεως, ἀλλ'
that not to all having-advanced the prosecution but
ἐπὶ μόνους τοὺς αἰτίους — ὀλίγοι δὲ ἦσαν—, κινῆσαι
against only the guilty few and were to-disturb
δὲ μηδὲν τῶν ἐξ ἔθους, ἀλλὰ καὶ παρακαταθήκην ἔχειν
but nothing of-the from custom but even as-deposit to-hold
τούς τε ἄνδρας ὡς εἰρηνικοὺς τὰς φύσεις καὶ τὰ νόμιμα
the both men as peaceful the natures and the customs
ὡς ἀλείφοντα πρὸς εὐστάθειαν.
as inciting toward stability

162 Ὁ δὲ Γάιος ἑαυτὸν ἐξετύφωσεν, οὐ λέγων μόνον ἀλλὰ
— but Gaius himself puffed-up not saying only but
καὶ οἰόμενος εἶναι θεός. εἶτα οὐδένας εὗρεν οὔτε Ἑλλήνων
also thinking to-be god then none he-found either of-Greeks
οὔτε βαρβάρων ἐπιτηδειοτέρους Ἀλεξανδρέων εἰς τὴν
or of-barbarians more-suitable than-Alexandrians for the
τῆς ἀμέτρου καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην ἐπιθυμίας
of-the immoderate and beyond nature human desire

βεβαίωσιν· δεινοὶ γάρ εἰσι τὰς κολακείας καὶ γοητείας
confirmation clever for they-are at-the flatteries and enchantments
καὶ ὑποκρίσεις, παρεσκευασμένοι μὲν θῶπας λόγους,
and pretenses prepared indeed fawning words
ἀνειμένοις δὲ στόμασι καὶ ἀχαλίνοις πάντα φύροντες.
with-relaxed but mouths and unbridled all-things confounding
θεοῦ κλῆσις οὕτως ἐστὶ σεμνὸν παρ᾽ αὐτοῖς, ὥστε καὶ ἴβεσι 163
of-god name so is august among them that even to-ibises
καὶ ἰοβόλοις ἀσπίσι ταῖς ἐγχωρίοις καὶ πολλοῖς ἑτέροις τῶν
and venomous asps the native and many others of-the
ἐξηγριωμένων αὐτῆς θηρίων μεταδεδώκασιν· ὥστε εἰκότως
having-grown-savage its beasts they-have-given-a-share so-that fittingly
ἀταμιεύτοις χρώμενοι ταῖς εἰς θεὸν τεινούσαις προσηγορίαις
unstinted using the toward god tending titles
ἀπατῶσι μὲν τοὺς ὀλιγόφρονας καὶ ἀπείρους τῆς
they-deceive indeed the small-minded and inexperienced of-the
Αἰγυπτιακῆς ἀθεότητος, ἁλίσκονται δὲ ὑπὸ τῶν ἐπισταμένων
Egyptian godlessness they-are-caught but by those knowing
τὴν πολλὴν αὐτῶν ἠλιθιότητα, μᾶλλον δὲ ἀσέβειαν.
the great their stupidity rather but impiety
ἧς ἄπειρος ὢν Γάιος ὑπελάμβανε τῷ ὄντι νομίζεσθαι 164
of-which inexperienced being Gaius supposed in-the being to-be-thought
παρ᾽ Ἀλεξανδρεῦσι θεός, ἐπειδήπερ οὐ πλαγίως ἀλλ᾽
among Alexandrians god since not obliquely but
ἄντικρυς ἅπασιν ἐχρῶντο κατακόρως τοῖς ὀνόμασιν,
openly all they-used to-excess the names
ὅσα τοῖς ἄλλοις ἔθος ἐπιφημίζεσθαι θεοῖς.
as-many-as to-the other customary to-be-applied gods
εἶτα καὶ τὴν περὶ τὰς προσευχὰς νεωτεροποιίαν ἀπὸ καθαροῦ 165
then also the about the prayer-houses innovation from pure
τοῦ συνειδότος καὶ τῆς εἰς αὐτὸν ἀκραιφνοῦς τιμῆς ᾤετο
the conscience and the toward himself unmixed honor he-thought

γεγενῆσθαι, τῇ μὲν ταῖς ὑπομνηματικαῖς ἐφημερίσιν, ἃς
to-have-been-done partly indeed to-the memorandum journals which
ἀπὸ τῆς Ἀλεξανδρείας διεπέμποντό τινες, προσέχων —
from — Alexandria sent some attending
ἥδιστον γὰρ ἦν ἀνάγνωσμα τοῦτο αὐτῷ, ὡς καὶ τὰ
most-pleasant for was reading this for-him so-that even the(-works)
τῶν ἄλλων συγγραφέων καὶ ποιητῶν ἀηδέστατα συγκρίσει
of-the other prose-writers and poets most-unpleasant by-comparison-with
τῆς ἐν τούτοις χάριτος νομίζεσθαι—, τῇ δὲ καὶ δι᾽ ἐνίους
the in these charm to-be-thought partly and also through some
οἰκέτας τοὺς τωθάζοντας ἀεὶ καὶ χλευάζοντας σὺν αὐτῷ.
servants those jesting always and mocking with him
166 Τούτων ἦσαν οἱ πλείους Αἰγύπτιοι, πονηρὰ σπέρματα,
of-these were the most Egyptians wicked seeds
κροκοδείλων καὶ ἀσπίδων τῶν ἐγχωρίων ἀναμεμαγμένοι
of-crocodiles and asps the native having-taken-the-imprint-of
τὸν ἰὸν ὁμοῦ καὶ θυμὸν ἐν ταῖς ψυχαῖς. ἡγεμὼν δὲ οἷά
the venom together and temper in the souls leader and as
τις ἦν χοροῦ τοῦ Αἰγυπτιακοῦ θιάσου παντὸς Ἑλικών,
some was of-chorus of-the Egyptian troupe whole Helicon
ἐπάρατον καὶ ἐξάγιστον ἀνδράποδον παρεισφθαρὲν εἰς τὴν
accursed and abominable slave having-crept-corruptly into the
αὐτοκρατορικὴν οἰκίαν· ἀπεγεύσατο γὰρ τῶν ἐγκυκλίων
imperial household he-had-tasted for of-the general-studies
κατὰ φιλοτιμίαν τοῦ προτέρου δεσπότου, ὃς αὐτὸν
through ambition of-the former master who him
ἐδωρήσατο Τιβερίῳ Καίσαρι.
gave to-Tiberius Caesar
167 τότε μὲν οὖν οὐδεμιᾶς ἐτύγχανε προνομίας, ὅσα
then indeed then of-no he-obtained privilege as-many-as
μειρακιώδη χαριεντίσματα Τιβερίου διαμεμισηκότος, ἐπειδὴ
boyish witticisms Tiberius having-thoroughly-hated since

πρὸς τὸ σεμνότερόν τε καὶ αὐστηρότερον σχεδὸν ἐκ
toward the more-solemn both and more-austere nearly from
πρώτης ἡλικίας ἐπικλινῶς εἶχεν.
first age inclined he-was
ἐπεὶ δὲ ὁ μὲν ἐτελεύτησε, Γάιος δὲ τὴν ἡγεμονίαν 168
when and he indeed died Gaius and the empire
διεδέξατο, νέῳ δεσπότῃ παρεπόμενος εἰς ἀνέσεις καὶ τρυφὴν
succeeded to-new master attending-on for relaxations and luxury
τὴν διὰ πάσης αἰσθήσεως ἐπιχαλῶντι "σός" εἶπε "νῦν ὁ
the through every sense slackening yours he-said now the
καιρός ἐστιν, Ἑλικών, ἐπέγειρε σαυτόν· ἔχεις πρὸς ἐπίδειξιν
occasion is Helicon rouse yourself you-have for display
ἀκροατὴν καὶ θεατὴν τὸν πάντων ἄριστον· εὔθικτος εἶ
hearer and spectator the of-all best quick you-are
τὴν φύσιν· σκώπτειν καὶ χαριεντίζεσθαι δύνασαι μᾶλλον
in-the nature to-jest and to-be-witty you-can more
ἑτέρων· ἀθύρματα καὶ παιδιὰς ληρώδεις καὶ παρασεσυρμένας
than-others toys and games silly and swept-away
οἶδας· τῶν ἐγκυκλίων οὐχ ἧττον πεπαίδευσαι τὰ
you-know of-the general-studies not less you-have-been-educated the
ἀχόρευτα· πρόσεστί σοι καὶ τὸ στωμύλον οὐκ ἀτερπές.
vulgar-graces belongs to-you and the glibness not unpleasant
ἐὰν ἔτι κέντρον ἐγκαταμίξῃς τοῖς τωθασμοῖς ὑποκακόηθες, 169
if still sting you-mix-in with-the jests somewhat-malicious
ὡς μὴ γέλωτα κινεῖν μόνον ἀλλὰ καὶ πικρίαν ἐκ
so-as not laughter to-move only but also bitterness from
τοῦ καχυπόνου, τὸν δεσπότην ὅλον ἥρπακας εὐφυῶς
the suspicious the master whole you-have-seized naturally
διακείμενον πρὸς ἀκρόασιν τῶν μετὰ χλεύης ἐγκλημάτων·
disposed for hearing of-the with mockery charges
ἀναπέπταται γὰρ αὐτοῦ, ὡς οἶδας, τὰ ὦτα καὶ
have-been-opened for his as you-know the ears and

ἀνωρθίασται πρὸς τοὺς ἐπιτετηδευκότας συνυφαίνειν τὸ
pricked-up to those having-practiced to-weave-together the
βλασφημεῖν τῷ συκοφαντεῖν.
to-slander with-the to-inform-falsely

170 ὕλας δὲ μὴ ζήτει περιττοτέρας· ἔχεις τὰς κατὰ Ἰουδαίων
materials but not seek more-superfluous you-have the against Jews
καὶ τῶν Ἰουδαϊκῶν ἐθῶν διαβολάς, αἷς ἐνετράφης· ἐξ
and the Jewish customs slanders in-which you-were-reared from
ἔτι σπαργάνων ἀνεδιδάχθης αὐτάς, οὐ παρ᾽ ἑνὸς ἀνδρὸς
still swaddling-clothes you-were-taught them not from one man
ἀλλὰ τοῦ γλωσσαργοτάτου μέρους τῆς Ἀλεξανδρέων
but the most-garrulous part of-the of-Alexandrians
πόλεως· ἐπίδειξαι τὰ μαθήματα.”
city display the lessons

171 τούτοις τοῖς παραλόγοις καὶ ἐπαράτοις λογισμοῖς ἐπάρας
with-these the absurd and accursed reasonings having-roused
καὶ συγκροτήσας ἑαυτὸν συνεῖχε καὶ περιεῖπε τὸν Γάιον,
and having-worked-up himself he-kept-close and attended — Gaius
οὐ νύκτωρ, οὐ μεθ᾽ ἡμέραν ἀφιστάμενος, ἀλλὰ πανταχοῦ
not by-night not by day withdrawing but everywhere
συμπαρών, ἵνα ταῖς ἐρημίαις καὶ ἀναπαύλαις αὐτοῦ
being-present so-that the solitudes and rests his
καταχρῆται πρὸς τὰς κατὰ τοῦ ἔθνους αἰτίας, ἡδονὰς
he-might-abuse for the against the nation charges pleasures
κινῶν τὰς διὰ σκωμμάτων ὁ πανουργότατος, ἵνα
stirring the through jests the most-villainous so-that
τιτρώσκωσιν αἱ διαβολαί· τὸν γὰρ ἐπ᾽ εὐθείας κατήγορον
might-wound the slanders the for on straight accuser
οὔτε ὡμολόγει οὔτε ὁμολογεῖν ἐδύνατο, πλαγιάζων δὲ
neither he-admitted-being nor to-admit was-able going-obliquely but

καὶ τεχνιτεύων χαλεπώτερος καὶ βαρύτερος ἦν ἐχθρὸς
and artful harsher and heavier was enemy
τῶν ἐπιγεγραμμένων ἄντικρυς τὴν δυσμένειαν.
than-those having-inscribed openly the hostility
φασὶ δὲ ὅτι καὶ τῶν Ἀλεξανδρέων οἱ πρέσβεις εὖ τοῦτο 172
they-say and that also of-the Alexandrians the envoys well this
εἰδότες ἀφανῶς ἐμεμίσθωντο αὐτὸν μεγάλοις μισθοῖς, οὐ
knowing secretly had-hired him with-great wages not
διὰ χρημάτων μόνον ἀλλὰ καὶ τῶν ἐπὶ τιμαῖς ἐλπίδων,
through money only but also of-the for honors hopes
ἃς ὑπέσπειραν αὐτῷ παρέξειν οὐκ εἰς μακράν,
which they-sowed for-him to-be-going-to-provide not after long
ἐπειδὰν ἀφίκηται Γάιος εἰς Ἀλεξάνδρειαν.
when arrives Gaius at Alexandria
ὁ δὲ τὸν καιρὸν ἐκεῖνον ὀνειροπολῶν, ἐν ᾧ παρόντος τοῦ 173
he and the occasion that dreaming-of in which present the
δεσπότου καὶ σὺν αὐτῷ σχεδόν τι τῆς οἰκουμένης —
master and with him nearly somewhat of-the inhabited-world
οὐ γὰρ ἦν ἄδηλον, ὅτι κατὰ θεραπείαν Γαΐῳ συνεισβαλεῖ
not for was unclear that for attendance with-Gaius will-invade-with
τὸ δοκιμώτατον καὶ ὅσον τῶν πόλεων ὄψις ἐστὶν
the most-approved and as-much-as of-the cities sight is
ἀναστὰν ἀπὸ περάτων αὐτῶν — ὑπὸ τῆς μεγίστης καὶ
having-risen from ends themselves by the greatest and
ἐνδοξοτάτης πόλεως τιμηθήσεται, πάντα ὑπισχνεῖτο.
most-famous city he-will-be-honored all-things he-promised
μέχρι μὲν οὖν τινος τὸν ἐμφωλεύοντα ἔνδον πολέμιον 174
until indeed then some-time the lurking within enemy
ἀγνοοῦντες ἐφυλαττόμεθα τοὺς ἔξω μόνους· ἐπεὶ δὲ
not-knowing we-guarded-against those outside alone when but
ᾐσθόμεθα, διηρευνῶμεν περιβλεπόμενοι πάσας ὁδούς, εἴ
we-perceived we-searched looking-around all ways if

πως δυνησόμεθα μαλθάξαι καὶ τιθασεῦσαι τὸν ἄνθρωπον
somehow we-shall-be-able to-soften and to-tame the man
ἐξ ἅπαντος τρόπου καὶ τόπου βάλλοντα καὶ τοξεύοντα
from every manner and place shooting and shooting-arrows
ἡμᾶς εὐσκόπως.
us well-aimed
175 καὶ συνεσφαίριζε γὰρ καὶ συνεγυμνάζετο καὶ συνελούετο
and he-played-ball-with for and exercised-with and bathed-with
καὶ συνηρίστα καὶ μέλλοντι κοιμᾶσθαι παρῆν Γαΐῳ, τὴν
and lunched-with and about to-sleep was-present to-Gaius the
τοῦ κατακοιμιστοῦ καὶ κατ᾽ οἰκίαν ἀρχισωματοφύλακος
of-the chamberlain and in house chief-bodyguard
τεταγμένος τάξιν, ὅση μηδενὶ προσῆν ἄλλῳ, ὡς μόνος
assigned rank such-as to-no-one belonged other so-that alone
ἔχειν εὐκαιρούσας καὶ σχολαζούσας ἀκοὰς αὐτοκράτορος
to-have at-leisure and free ears of-emperor
τῶν ἔξω διαφειμένας θορύβων εἰς ἀκρόασιν ὧν
from-the outside released noises for hearing of-what
μάλιστα ἐπόθει.
most he-longed-for
176 διασυρμοὶ δὲ ἦσαν ἀνακεκραμένοι κατηγορίαις, ἵνα
mockeries and were mixed with-accusations so-that
τοῖς μὲν ἡδονὰς κινῇ, ἡμᾶς δὲ τὰ μέγιστα
to-the(-ones) indeed pleasures he-might-stir us but the greatest-things
βλάπτῃ· τὸ μὲν γὰρ προηγούμενον ἔργον εἶναι δοκοῦν,
might-harm the indeed for principal work to-be seeming
ὁ διασυρμός, πάρεργον ἦν αὐτῷ, τὸ δὲ φαινόμενον
the mockery by-work was for-him the but appearing
πάρεργον, αἱ κατηγορίαι, μόνον καὶ πρῶτον ἔργον.
by-work the accusations only and first work

πάντα δὴ κάλων ἀνασείων, ὡς οἱ πνεῦμα δεξιὸν κατ' 177
every indeed rope shaking-out as the wind favorable on
οἰάκων ἔχοντες, ἐφέρετο πλησίστιος οὐριοδρομῶν,
tillers having he-was-carried full-sail running-before-the-wind
ἄλλας ἐπ' ἄλλαις συντιθεὶς καὶ συνείρων αἰτίας. τοῦ
others upon others putting-together and stringing charges of-him
δὲ ἐνετυποῦτο ἡ διάνοια παγιώτερον, ὡς ἄληστον εἶναι
and was-imprinted the mind more-firmly so-that unforgettable to-be
τὴν τῶν ἐγκλημάτων μνήμην.
the of-the charges memory
Ἐν ἀπόροις δὲ καὶ ἐν ἀμηχάνοις ὄντες, ἐπειδὴ πάντα 178
in difficulties and and in helplessness being since every
λίθον κινοῦντες ὑπὲρ τοῦ τὸν Ἑλικῶνα ἐξευμενίσασθαι
stone moving for the — Helicon to-propitiate
πάροδον οὐδεμίαν ἀνευρίσκομεν, μηδενὸς μήτε εἰπεῖν
access none we-found no-one either to-speak
μήτε προσελθεῖν τολμῶντος ἕνεκα τῆς ἀλαζονείας καὶ
or to-approach daring because-of the arrogance and
βαρύτητος, ᾗ πρὸς πάντας ἐκέχρητο, καὶ ἅμα διὰ
heaviness which toward all he-used and at-once because-of
τὸ ἀγνοεῖν, εἴ τίς ἐστιν αὐτῷ πρὸς τὸ Ἰουδαίων γένος
the to-be-ignorant whether any is in-him toward the of-Jews race
ἀλλοτρίωσις ἀλείφοντι τὸν δεσπότην ἀεὶ καὶ συγκροτοῦντι
estrangement inciting the master always and urging
κατὰ τοῦ ἔθνους, τὸ μὲν ἔτι πονεῖσθαι περὶ τοῦτο
against the nation the indeed still to-toil about this
τὸ μέρος εἰάσαμεν, τοῦ δὲ ἀναγκαιοτέρου περιειχόμεθα·
the part we-let-be the and more-necessary we-held-to
γραμματεῖον γὰρ ἔδοξεν ἀναδοῦναι Γαΐῳ κεφαλαιώδη
memorial for it-seemed-good to-hand to-Gaius summary
τύπον περιέχον ὧν τε ἐπάθομεν καὶ ὧν τυχεῖν ἠξιοῦμεν.
outline containing what both we-suffered and what to-obtain we-asked

179 ἦν δὲ σχεδὸν τοῦτο ἐπιτομή τις ἱκετείας μακροτέρας, ἣν
was and nearly this abridgment some of-petition longer which
ἐπεπόμφειμεν πρὸ ὀλίγου δι᾽ Ἀγρίππα τοῦ βασιλέως·
we-had-sent before little through Agrippa the king
ἐκ τύχης γὰρ ἐπεδήμησε τῇ πόλει μέλλων εἰς Συρίαν
by chance for he-was-visiting the city being-about to Syria
κατὰ τὴν δοθεῖσαν αὐτῷ βασιλείαν ἀπαίρειν.
to the given to-him kingdom to-depart
180 *** ἐλελήθειμεν δὲ ἄρα ἔτι ἀπατῶντες ἑαυτούς· καὶ
(lacuna) we-had-failed-to-notice and then still deceiving ourselves and
γὰρ πρότερον, ὅτε εὐθὺς ἠρξάμεθα πλεῖν οἰόμενοι πρὸς
for earlier when at-once we-began to-sail thinking to
κριτὴν ἀφίξεσθαι τευξόμενοι τῶν δικαίων. ὁ δὲ ἦν
judge to-be-going-to-come going-to-obtain the just-things he but was
ἐχθρὸς ἄσπονδος, δελεάζων ὅσα τῷ δοκεῖν φαιδρῷ
enemy implacable luring as-much-as by-the seeming with-bright
τῷ βλέμματι καὶ ἱλαρωτέραις ταῖς προσρήσεσι.
the glance and with-more-cheerful the greetings

X · THE AUDIENCE AND THE TERRIBLE NEWS

Gaius first greets the envoys in the plain by the Tiber, coming out of his mother's gardens, and promises a hearing, but Philo, older and more cautious, mistrusts his favor. At Dicaearchia, waiting to be called, they are met by a man in great distress who tells them that Gaius has ordered a colossal statue of Zeus, bearing his own name, set up in the Temple. The envoys shut themselves in and lament: how can they plead for their prayer-houses before the destroyer of the Temple, when the whole nation is imperiled? They learn that Capito, the tax-collector of Judea, found his pretext at Jamnia, a mixed city where the foreigners build a makeshift altar of clay bricks to provoke the Jews, who pull it down, and wrote to Gaius magnifying the affair; and Gaius, with Helicon and the tragic actor Apelles as counselors, both later punished, ordered a gilded colossus for the Temple in place of the altar.

δεξιωσάμενος γὰρ ἡμᾶς ἐν τῷ πρὸς Τιβέρει πεδίῳ 181
having-greeted for us in the by Tiber plain
τὸ πρῶτον — ἔτυχε δὲ ἐκ τῶν μητρῴων ἐξιὼν
the first he-happened and from the maternal coming-out
κήπων — ἀντιπροσηγόρευσε καὶ τὴν δεξιὰν χεῖρα κατέσεισεν
gardens he-greeted-in-return and the right hand waved
αἰνιττόμενος εὐμένειαν καὶ τὸν ἐπὶ τῶν πρεσβειῶν,
hinting goodwill and the(-one) over the embassies
Ὅμιλον ὄνομα, προσπέμψας "αὐτὸς" ἔφη "τῆς ὑμετέρας
Homilus by-name having-sent himself he-said the your
ὑποθέσεως ἀκούσομαι προσευκαιρήσας", ὥστε τοὺς ἐν
case I-will-hear having-found-leisure so-that those in
κύκλῳ πάντας συνήδεσθαι καθάπερ ἤδη νενικηκόσι καὶ τῶν
circle all to-rejoice-with-us as already having-won and of-the
ἡμετέρων ὅσοι ταῖς ἐπιπολαίοις παράγονται φαντασίαις.
ours as-many-as by-the superficial are-misled appearances

182 ἐγὼ δὲ φρονεῖν τι δοκῶν περιττότερον καὶ δι᾽
I but to-think something seeming more-than-ordinary and through
ἡλικίαν καὶ τὴν ἄλλην παιδείαν εὐλαβέστερος ἤμην ἐφ᾽
age and the other education more-cautious was at
οἷς ἔχαιρον οἱ ἄλλοι. “διὰ τί γάρ” ἔφασκον ἀνακινῶν
what rejoiced the others for what for I-said stirring-up
τὸν ἐμαυτοῦ λογισμόν, “τοσούτων ὄντων πρεσβευτῶν
the my-own reasoning so-many being envoys
σχεδὸν ἀπὸ πάσης γῆς ἀφιγμένων, ἡμῶν εἶπε τότε μόνων
nearly from all earth having-come us he-said then alone
ἀκούσεσθαι; τί βουλόμενος; οὐ γὰρ ἠγνόει γε
to-be-going-to-hear what wishing not for he-was-ignorant at-least
ὄντας Ἰουδαίους, οἷς ἀγαπητὸν τὸ μὴ ἐλαττοῦσθαι.
being Jews for-whom content the not to-be-worsted
183 τὸ δὲ δὴ καὶ προνομίας οἴεσθαι τυγχάνειν παρ᾽ ἀλλοεθνεῖ
the and indeed also privilege to-think to-obtain from foreign
καὶ νέῳ καὶ αὐτεξουσίῳ δεσπότῃ μὴ καὶ μανίας
and young and absolute master perhaps even to-madness
ἐγγύς ἐστιν; ἀλλ᾽ ἔοικε τῇ τῶν ἄλλων Ἀλεξανδρέων
near is-it but he-seems to-the of-the other Alexandrians
μερίδι προσκεῖσθαι, ᾗ διδοὺς προνομίαν θᾶττον
party to-be-attached to-which giving privilege sooner
ὑπέσχετο δικάσειν, ἐὰν ἄρα μὴ τὸν ἴσον καὶ κοινὸν
he-promised to-be-going-to-judge if then not the impartial and common
ἀκροατὴν ὑπερβὰς ἀντὶ δικαστοῦ γένηται τῶν
hearer having-overstepped instead-of judge he-become of-the(-ones)
μὲν συναγωνιστής, ἡμῶν δὲ ἀντίπαλος.”
indeed co-advocate of-us but opponent
184 Ταῦτα λογιζόμενος ἐσφάδαζον καὶ οὔτε μεθ᾽ ἡμέραν
these-things reckoning I-was-agitated and neither by day
οὔτε νύκτωρ ἠρέμουν. ἀθυμοῦντος δέ μου καὶ τὴν ἀνίαν
nor by-night I-was-at-rest being-despondent and of-me and the grief

στέγοντος — οὐδὲ γὰρ ἀνενεγκεῖν ἀσφαλὲς ἦν—, ἕτερον
concealing nor for to-bring-up safe was another
κατασκήπτει βαρύτατον ἐξαπιναίως ἀπροσδόκητον κακόν,
falls-upon heaviest suddenly unexpected evil
οὐχ ἑνὶ μέρει τοῦ Ἰουδαϊκοῦ τὸν κίνδυνον ἐπάγον, ἀλλὰ
not on-one part of-the Jewish the danger bringing but
συλλήβδην ἅπαντι τῷ ἔθνει.
altogether on-all the nation
ἀφίγμεθα μὲν γὰρ ἀπὸ Ῥώμης εἰς Δικαιάρχειαν 185
we-had-come indeed for from Rome to Dicaearchia
ἐπακολουθοῦντες Γαΐῳ· κατεληλύθει δὲ ἐπὶ θάλατταν καὶ
following Gaius he-had-gone-down and to sea and
διέτριβε περὶ τὸν κόλπον, ἀμείβων τὰς ἰδίας ἐπαύλεις
was-staying about the bay exchanging the own villas
πολλὰς καὶ πολυτελῶς ἠσκημένας.
many and expensively furnished
φροντίζουσι δὲ ἡμῖν τῆς ὑποθέσεως — ἀεὶ γὰρ 186
being-anxious and to-us about-the case always for
κληθήσεσθαι προσεδοκῶμεν — προσέρχεταί τις
to-be-going-to-be-called we-expected comes-up someone
ὕφαιμόν τι καὶ ταραχῶδες ὑποβλεπόμενος, ἄσθματος
bloodshot something and agitated glancing of-panting
μεστός, καὶ μικρὸν ἀπὸ τῶν ἄλλων ἀπαγαγών — πλησίον
full and little from the others having-led-away near
γὰρ ἦσάν τινες — "ἠκούσατε" ἔφη "τὰ καινά;" καὶ μέλλων
for were some have-you-heard he-said the news and being-about
ἀπαγγέλλειν ἐπεσχέθη, δακρύων ἀθρόας φορᾶς ἐνεχθείσης.
to-report was-checked of-tears all-together flood having-been-carried
καὶ πάλιν ἀρξάμενος δεύτερον ἐπεσχέθη καὶ τρίτον. ἅπερ 187
and again having-begun a-second-time was-checked and a-third-time which
ὁρῶντες ἡμεῖς ἐπτοήμεθα καὶ παρεκαλοῦμεν μηνῦσαι τὸ
seeing we were-terrified and urged to-disclose the

πρᾶγμα, οὗ χάριν ἐλθεῖν ἔφασκεν· "οὐ γὰρ ἕνεκα
matter for-whose sake to-have-come he-said not for for-the-sake-of
τοῦ διὰ μαρτύρων κλαίειν· εἰ δὲ ἄξια δακρύων ἐστί,
the before witnesses to-weep if but worthy of-tears they-are
μὴ μόνος ἀπόλαυε τῆς λύπης· ἐθάδες γεγόναμεν ἤδη
not alone enjoy the grief accustomed we-have-become already
κακοπραγιῶν."
to-misfortunes

188 ὁ δὲ μόλις μὲν ἀναλύζων δὲ ὅμως κεκομμένῳ τῷ
he and hardly indeed sobbing but nevertheless with-broken the
πνεύματί φησιν· "οἴχεται ἡμῶν τὸ ἱερόν· ἀνδριάντα
breath says is-gone our the temple statue
κολοσσιαῖον ἐσωτάτω τῶν ἀδύτων ἀνατεθῆναι Γάιος
colossal innermost of-the sanctuaries to-be-set-up Gaius
προσέταξε Διὸς ἐπίκλησιν αὐτοῦ."
has-ordered of-Zeus with-title his-own

189 θαυμασάντων δὲ τὸ λεχθὲν καὶ πεπηγότων ὑπ'
having-marveled and at-the said and frozen through
ἐκπλήξεως καὶ μηδὲ προελθεῖν ἔτι δυναμένων — ἀχανεῖς
amazement and not-even to-go-forward still being-able gaping
γὰρ εἱστήκειμεν ὀλιγοδρανοῦντες καὶ καταρρέοντες περὶ
for we-stood fainting and collapsing about
αὑτοῖς, τῶν σωματικῶν τόνων ἐκνενευρισμένων—, ἕτεροι
ourselves the bodily tensions having-been-unstrung others
παρῆσαν τὰς αὐτὰς φέροντες ὠδῖνας.
were-present the same bringing pangs

190 ἔπειτα συγκλεισάμενοι πάντες ἀθρόοι ἰδίας ὁμοῦ καὶ κοινὰς
then having-shut-ourselves-in all together private at-once and common
τύχας ἐθρηνοῦμεν καὶ οἷα ὑπέβαλλεν ὁ νοῦς διεξῇμεν —
fortunes we-lamented and such-as suggested the mind we-went-through
λαλίστατον γὰρ ἄνθρωπος ἀτυχῶν—· ἀγωνιάσωμεν ὑπὲρ τοῦ
most-talkative for man unfortunate let-us-struggle for the

μὴ εἰς ἅπαν ταῖς ἀνιάτοις παρανομίαις ἀφεθῆναι. χειμῶνος
not into the-whole to-the incurable lawlessnesses to-be-abandoned in-winter
μέσου διεπλεύσαμεν ἀγνοοῦντες, ὅσος χειμὼν ἔφεδρός ἐστιν
mid we-sailed-across not-knowing how-great storm lying-in-wait is
ὁ κατὰ γῆν ἀργαλεώτερος πολλῷ τοῦ κατὰ θάλατταν·
the on land more-grievous much than-the on sea
τοῦ μὲν γὰρ ἡ φύσις αἰτία διακρίνουσα τοὺς ἐτησίους
of-the(-one) indeed for the nature cause distinguishing the yearly
καιρούς, φύσις δὲ σωτήριον· ἐκείνου δὲ ἄνθρωπος οὐδὲν
seasons nature but saving of-that but man nothing
φρονῶν ἀνθρώπινον, νέος καὶ νεωτεροποιὸς ἀνημμένος
thinking human young and innovating having-fastened-on
τὴν ἐφ᾽ ἅπασιν ἀνυπεύθυνον ἀρχήν· νεότης δὲ μετ᾽ ἐξουσίας
the over all unaccountable rule youth and with power
αὐτοκρατοῦς ὁρμαῖς ἀκαθέκτοις χρωμένη κακὸν δύσμαχον.
absolute with-impulses unrestrainable using evil hard-to-fight
ἐξέσται δὲ προσελθεῖν ἢ διᾶραι τὸ στόμα περὶ 191
will-it-be-possible and to-approach or to-open the mouth about
προσευχῶν τῷ λυμεῶνι τοῦ πανιέρου; δῆλον γὰρ ὡς οὐ
prayer-houses to-the destroyer of-the all-holy clear for that not
φροντιεῖ τῶν ἀφανεστέρων καὶ τιμῆς ἐλάττονος ἠξιωμένων
he-will-care for-the more-obscure and of-honor less deemed-worthy
ὁ τὸν περισημότατον καὶ ἐπιφανέστατον νεών, εἰς
the(-one) the most-famous and most-conspicuous temple to
ὃν ἀνατολαὶ καὶ δύσεις ἀποβλέπουσιν ἡλίου τρόπον
which risings and settings look of-sun like
πανταχόσε λάμποντα, καθυβρίζων.
everywhere shining outraging
εἰ δὲ καὶ γένοιτό τις ἄδεια προσόδου, τί χρὴ 192
if and even should-come-about any freedom of-access what it-is-needful
προσδοκᾶν ἢ θάνατον ἀπαραίτητον; ἀλλ᾽ ἔστω,
to-expect than death inexorable but let-it-be

τεθνηξόμεθα· ζωὴ γάρ τίς ἐστιν ὁ ὑπὲρ φυλακῆς νόμων
we-will-die life for some is the for guarding of-laws
εὐκλεέστατος θάνατος. εἰ δὲ ἐκ τῆς ἡμετέρας τελευτῆς
most-glorious death if but from the our end
γενήσεται μηδὲν ὄφελος, οὐ μανία παραπολέσθαι, καὶ
will-come no benefit not madness to-perish-besides and
ταῦτα πρεσβεύειν δοκοῦντας, ὡς τῶν πεμψάντων μᾶλλον
this to-be-envoys seeming as of-those having-sent rather
ἢ τῶν ὑπομενόντων εἶναι τὴν συμφοράν;
than of-those enduring to-be the misfortune

193 οὐ μὴν ἀλλὰ καὶ ὅσοι τὰς φύσεις μισοπονηρότατοι
not indeed but also as-many-as the natures most-hating-wickedness
τῶν ὁμοφύλων ἀσέβειαν ἡμῶν κατηγορήσουσιν ὡς, ἐν
of-the kinsmen impiety us will-accuse as in
ἐσχάτῳ κινδύνῳ τῶν ὅλων σαλευόντων, ἐπιμνησθέντων
extreme danger the whole tossing having-made-mention
ὑπὸ φιλαυτίας ἰδίου τινός· τοῖς γὰρ μεγάλοις τὰ
through self-love of-private something to-the for great the
βραχέα καὶ τοῖς κοινοῖς τὰ ἴδια ὑποστέλλειν ἀναγκαῖον,
small and to-the common the private to-subordinate necessary
ὧν οἰχομένων ἔρρει καὶ ἡ πολιτεία.
which having-gone is-gone also the citizenship

194 ποῦ γὰρ ὅσιον ἢ θεμιτὸν ἄλλως ἀγωνίζεσθαι, δεικνύντας
where for holy or lawful otherwise to-contend showing
ὡς ἐσμὲν Ἀλεξανδρεῖς, οἷς ὁ περὶ τῆς καθολικωτέρας
that we-are Alexandrians over-whom the about the more-universal
πολιτείας ἐπικρέμαται κίνδυνος τῆς Ἰουδαίων; ἅμα γὰρ
citizenship hangs danger the of-Jews at-once for
τῇ τοῦ ἱεροῦ καταλύσει δέος, μὴ καὶ τὸ κοινὸν τοῦ
with-the of-the temple destruction fear lest also the common of-the

ἔθνους ὄνομα συναφανισθῆναι κελεύσῃ ὁ νεωτεροποιὸς
nation name to-be-obliterated-with he-may-order the innovating
καὶ μεγαλουργὸς ἄνθρωπος.
and grandiose man
ἀμφοτέρων οὖν τῶν ὑποθέσεων δι' ἃς ἐστάλημεν οἰχομένων, 195
both then the cases for which we-were-sent being-gone
ἴσως φήσει τις· τι οὖν, οὐκ ᾔδεσαν πραγματεύεσθαι
perhaps will-say someone what then not did-they-know to-work-for
τὴν μετὰ ἀσφαλείας ἐπάνοδον; πρὸς ὃν εἴποιμι ἄν· ἢ
the with safety return to whom I-would-say — either
οὐκ ἔχεις ἀνδρὸς εὐγενοῦς πάθος γνήσιον ἢ οὐκ ἐνετράφης
not you-have of-man noble feeling genuine or not you-were-reared
οὐδὲ ἐνησκήθης τοῖς ἱεροῖς γράμμασιν. ἐλπίδων εἰσὶ
nor were-trained in-the sacred writings of-hopes are
πλήρεις οἱ ὄντως εὐγενεῖς, καὶ οἱ νόμοι τοῖς ἐντυγχάνουσι
full the truly noble and the laws to-those reading-them
μὴ χείλεσιν ἄκροις ἐλπίδας ἀγαθὰς δημιουργοῦσιν.
not with-lips' tips hopes good create
ἴσως ἀπόπειρα ταῦτα τῆς καθεστώσης γενεᾶς ἐστι, πῶς 196
perhaps trial these-things of-the present generation is how
ἔχει πρὸς ἀρετὴν καὶ εἰ πεπαίδευται φέρειν τὰ δεινὰ
it-is toward virtue and if it-has-been-trained to-bear the terrible-things
λογισμοῖς ἰσχυρογνώμοσιν οὐ προκαταπίπτουσα. τὰ μὲν οὖν
with-reasonings strong-minded not collapsing-beforehand the indeed then
ἐξ ἀνθρώπων ἅπαντα καὶ ἔρρει καὶ ἐρρέτω· μενέτω δὲ ἐν
from men all-things both are-gone and let-them-go let-remain but in
ταῖς ψυχαῖς ἀκαθαίρετος ἡ ἐπὶ τὸν σωτῆρα θεὸν ἐλπίς, ὃς
the souls indestructible the in the savior god hope who
πολλάκις ἐξ ἀμηχάνων καὶ ἀπόρων περιέσωσε τὸ ἔθνος.
often from impossible and desperate-straits saved the nation

197 Ταῦτα ἅμα μὲν ὀλοφυρόμενοι τὰς ἀπροσδοκήτους
these-things at-once indeed lamenting the unexpected
ἀτυχίας ἅμα δὲ καὶ παρηγοροῦντες ἑαυτοὺς ἐλπίδι
misfortunes at-once and also consoling ourselves with-hope
μεταβολῆς γαληνοτέρας διεξῆμεν. μικρὸν δὲ ἐπισχόντες
of-change calmer we-went-through little and having-paused
πρὸς τοὺς ἀπαγγείλαντας "τί καθ' ἡσυχίαν" εἴπομεν
to those having-reported why at leisure we-said
"κάθησθε, σπινθῆρας αὐτὸ μόνον τοῖς ὠσὶν ἡμῶν ἐνιέντες,
do-you-sit sparks itself only into-the ears our throwing
ὑφ' ὧν καιόμεθα καὶ πυρπολούμεθα, δέον προσεξηγεῖσθαι
by which we-are-burned and set-on-fire needing to-explain-besides
καὶ τὰ κεκινηκότα τὸν Γάιον;"
also the(-things) having-moved — Gaius
198 οἱ δέ· "τὴν μὲν ἀνωτάτω καὶ πρώτην αἰτίαν ἴστε, ἣν
they and the indeed highest and first cause you-know which
καὶ πάντες ἴσασιν ἄνθρωποι· θεὸς βούλεται νομίζεσθαι,
also all know men god he-wishes to-be-thought
ὑπείληφε δὲ μόνους Ἰουδαίους μὴ πείσεσθαι, οἷς μεῖζον
he-has-supposed and alone Jews not to-be-going-to-obey on-whom greater
οὐδὲν ἂν προστρίψαιτο κακὸν ἢ λυμηνάμενος τὴν τοῦ
no — he-could-inflict evil than having-outraged the of-the
ἱεροῦ σεμνότητα. κατήχηται δέ, ὅτι καὶ πάντων ἱερῶν τῶν
temple majesty he-has-been-told and that also of-all temples those
πανταχοῦ κάλλιστόν ἐστιν ἐξ ἀπείρων χρόνων ἀπαύστοις
everywhere most-beautiful it-is from infinite times by-unceasing
καὶ ἀφειδέσι δαπάναις ἀεὶ προσκοσμούμενον· δύσεριs δὲ καὶ
and lavish expenditures always being-adorned quarrelsome and and
φιλόνεικος ὢν σφετερίσασθαι τοῦτο εἰς ἑαυτὸν διανοεῖται.
contentious being to-appropriate this to himself he-intends

παρατέθηκται δὲ νῦν μᾶλλον ἢ πρότερον ἐξ ἐπιστολῆς, 199
he-has-been-sharpened and now more than before from letter
ἣν ἔπεμψε Καπίτων. φόρων ἐκλογεὺς ὁ Καπίτων ἐστὶ τῶν
which sent Capito of-taxes collector — Capito is of-the
τῆς Ἰουδαίας, ἔχει δέ πως πρὸς τοὺς ἐγχωρίους ἐγκότως·
— of-Judea is and somehow toward the natives rancorously
πένης γὰρ ἀφιγμένος καὶ ἐξ ὧν νοσφίζεται καὶ παρεκλέγει
poor for having-come and from what he-embezzles and extorts
ποικίλον τινὰ καὶ πολὺν πλοῦτον ἠθροικώς, εἶτα εὐλαβηθείς,
varied some and great wealth having-amassed then having-taken-care
μή τις αὐτοῦ γένηται κατηγορία, τέχνην ἐπενόησεν,
lest any against-him be accusation contrivance he-devised
ᾗ διαβολαῖς τῶν ἀδικηθέντων διακρούσεται τὰς αἰτίας.
by-which with-slanders of-the wronged he-will-fend-off the charges
ἀφορμὴν δὲ αὐτῷ δίδωσιν εἰς ὅπερ ἐβούλετο συντυχία τις 200
occasion and to-him gives for which he-wished coincidence some
τοιαύτη. τὴν Ἰάμνειαν — πόλις δέ ἐστι τῆς Ἰουδαίας ἐν
such — Jamnia city and is — of-Judea among
τοῖς μάλιστα πολυάνθρωπος — μιγάδες οἰκοῦσιν, οἱ πλείους
the most populous mixed dwell the most
μὲν Ἰουδαῖοι, ἕτεροι δέ τινες ἀλλόφυλοι παρεισφθαρέντες
indeed Jews others and some foreigners having-crept-in
ἀπὸ τῶν πλησιοχώρων, οἳ τοῖς τρόπον τινὰ αὐθιγενέσιν
from the neighboring-parts who to-those in-a-way some native
ὄντες μέτοικοι κακὰ καὶ πράγματα παρέχουσιν, ἀεί
being sojourners evils and troubles provide always
τι παραλύοντες τῶν πατρίων Ἰουδαίοις.
something dissolving of-the ancestral-things for-Jews
οὗτοι παρὰ τῶν ἐπιφοιτώντων ἀκούοντες, ὅσῃ 201
these from those visiting hearing with-how-much
σπουδῇ κέχρηται Γάιος περὶ τὴν ἰδίαν ἐκθέωσιν καὶ
zeal has-used Gaius about the own deification and

ὡς ἀλλοτριώτατα διάκειται πρὸς ἅπαν τὸ Ἰουδαϊκὸν
how most-hostilely he-is-disposed toward all the Jewish
γένος, καιρὸν ἐπιτήδειον εἰς ἐπίθεσιν παραπεπτωκέναι
race occasion suitable for attack to-have-fallen-out
νομίζοντες αὐτοσχέδιον ἀνιστᾶσι βωμὸν εἰκαιοτάτης ὕλης,
thinking improvised they-set-up altar of-most-worthless material
πηλὸν σχηματίσαντες εἰς πλίνθους, ὑπὲρ τοῦ μόνον
clay having-shaped into bricks for the only
ἐπιβουλεύειν τοῖς συνοικοῦσιν· ᾔδεσαν γὰρ οὐκ ἀνεξομένους
to-plot-against those dwelling-with-them they-knew for not going-to-endure
καταλυομένων τῶν ἐθῶν, ὅπερ καὶ ἐγένετο.
being-dissolved the customs which also happened
202 θεασάμενοι γὰρ καὶ δυσανασχετήσαντες ἐπὶ τῷ τῆς
having-beheld for and having-been-indignant at the of-the
ἱερᾶς χώρας τὸ ἱεροπρεπὲς ὄντως ἀφανίζεσθαι καθαιροῦσι
sacred land the sanctity truly to-be-obliterated they-pull-down
συνελθόντες· οἱ δὲ εὐθὺς ἐπὶ τὸν Καπίτωνα ἦκον, ὃς
having-come-together they and at-once to — Capito went who
ἦν τοῦ δράματος ὅλου δημιουργός. ἔρμαιον δὲ εὑρηκέναι
was of-the drama whole craftsman windfall and to-have-found
νομίσας, ὅπερ ἐκ πολλῶν χρόνων ἀνεζήτει, γράφει Γαΐῳ
thinking which from many times he-sought he-writes to-Gaius
διαίρων τὰ πράγματα καὶ μετεωρίζων.
exaggerating the affairs and inflating-them
203 ὁ δὲ διαναγνοὺς πλουσιώτερον καὶ μεγαλοφρονέστερόν
he and having-read-through richer and more-magnificent
τι ἀντὶ τοῦ πλινθίνου βωμοῦ τοῦ κατ᾽ ἐπήρειαν
something instead-of the of-brick altar the in insult
ἀνασταθέντος ἐν Ἰαμνείᾳ κελεύει κολοσσιαῖον ἀνδριάντα
set-up in Jamnia he-orders colossal statue
ἐπίχρυσον ἐν τῷ τῆς μητροπόλεως ἱερῷ καθιδρυθῆναι,
gilded in the of-the mother-city temple to-be-set-up

συμβούλοις χρησάμενος τοῖς ἀρίστοις καὶ σοφωτάτοις,
as-counselors having-used the best and wisest
Ἑλικῶνι τῷ εὐπατρίδῃ δούλῳ, σπερμολόγῳ, περιτρίμματι,
Helicon the nobly-born slave babbling worn-out-scrap
καὶ Ἀπελλῇ τινι τραγῳδῷ, ὃς […] ἔξωρος δὲ
and Apelles some tragic-actor who (omitted) past-his-prime and
γενόμενος ἐπὶ τὴν σκηνὴν παρῆλθεν.
having-become onto the stage came
ὅσοι δὲ σκηνοβατοῦσιν ἐμπορευόμενοι θεαταῖς καὶ 204
as-many-as and tread-the-stage trafficking in-spectators and
θεάτροις, αἰδοῦς εἰσι καὶ σωφροσύνης ἀλλ' οὐκ
theaters of-modesty are-they and of-temperance but not
ἀναισχυντίας καὶ ἀκοσμίας ἐρασταὶ τῆς ἀνωτάτω; διὰ
of-shamelessness and indecency lovers of-the highest because-of
ταῦτα εἰς τὴν τοῦ συμβούλου τάξιν ὁ Ἀπελλῆς παρῆλθεν,
these-things into the of-the counselor rank — Apelles came
ἵνα βουλεύσηται Γάιος μεθ' οὗ μὲν ὡς σκωπτέον, μεθ' οὗ
so-that may-deliberate Gaius with whom indeed how one-must-jest with whom
δὲ ὡς ᾀστέον, ὑπερβὰς τὰς περὶ τῶν ὅλων σκέψεις,
and how one-must-sing having-passed-over the about the whole considerations
ὡς εἰρηνεύεσθαι καὶ ἠρεμεῖσθαι τὰ πανταχοῦ πάντα.
as-though to-be-at-peace and to-be-at-rest the-things everywhere all
ὁ μὲν οὖν Ἑλικών, σκορπιῶδες ἀνδράποδον, τὸν 205
— indeed then Helicon scorpion-like slave the
Αἰγυπτιακὸν ἰὸν εἰς Ἰουδαίους ἤφιεν, ὁ δὲ Ἀπελλῆς
Egyptian venom at Jews shot — and Apelles
τὸν ἀπὸ Ἀσκάλωνος· ἦν γὰρ ἐκεῖθεν· Ἀσκαλωνίταις
the from Ascalon he-was for from-there for-Ascalonites
δὲ ἀσύμβατός τις καὶ ἀκατάλλακτος δυσμένεια πρὸς
and irreconcilable some and implacable hostility toward
τοὺς τῆς ἱερᾶς χώρας οἰκήτορας Ἰουδαίους ἐστὶν οὖσιν
the of-the sacred land inhabitants Jews is being

ὁμόροις.” ταῦτα ἀκούοντες ἐφ’ ἑκάστου ῥήματος καὶ
neighbors these-things hearing at each word and
ὀνόματος ἐτιτρωσκόμεθα τὰς ψυχάς.
name we-were-wounded the souls
206 ἀλλ’ οἱ μὲν καλῶν πράξεων καλοὶ σύμβουλοι μικρὸν
but the indeed of-fine deeds fine counselors little
ὕστερον τὰ ἐπίχειρα εὗρον τῆς ἀσεβείας, ὁ μὲν
later the wages found of-the impiety the(-one) indeed
ὑπὸ Γαΐου σιδήρῳ δεθεὶς ἐφ’ ἑτέραις αἰτίαις καὶ
by Gaius with-iron bound for other charges and
στρεβλούμενος καὶ τροχιζόμενος ἐκ περιτροπῆς, ὥσπερ ἐν
racked and broken-on-the-wheel in rotation as in
ταῖς περιοδιζούσαις νόσοις, ὁ δὲ Ἑλικὼν ὑπὸ Κλαυδίου
the intermittent diseases — and Helicon by Claudius
Γερμανικοῦ Καίσαρος ἀναιρεθείς, ἐφ’ οἷς ἄλλοις ὁ
Germanicus Caesar having-been-killed for what other-things the
φρενοβλαβὴς ἠδίκησεν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο.
deranged did-wrong but these-things indeed later happened

Gaius' letter orders Petronius, governor of all Syria, to lead half the army of the Euphrates into Judea as the statue's escort, not to honor the dedication but so that anyone who resists may die at once; Gaius, Philo says, foresaw the resistance and meant the image to be consecrated with slaughter. Petronius is at a loss: he knows the Jews will die ten thousand deaths rather than let the forbidden be done, holding their laws to be oracles of God and the Temple dearest of all. He fears their numbers in every land, in Judea, and beyond the Euphrates, yet to defy his young master is certain death.

Ἡ δὲ περὶ τῆς ἀναθέσεως τοῦ ἀνδριάντος ἐπιστολὴ 207
the and about the setting-up of-the statue letter
γράφεται, καὶ οὐχ ἁπλῶς ἀλλ' ὡς οἷόν τε ἦν
is-written and not simply but as possible — it-was
περιεσκεμμένως εἰς ἀσφάλειαν. κελεύει γὰρ Πετρωνίῳ
circumspectly for safety he-orders for Petronius
τῷ τῆς Συρίας ἁπάσης ὑπάρχῳ, πρὸς ὃν καὶ τὴν
the — of-Syria all governor to whom also the
ἐπιστολὴν ἐγεγράφει, τῆς παρ' Εὐφράτῃ στρατιᾶς, ἣ
letter he-had-written of-the at Euphrates army which
τὴν διάβασιν τῶν ἑῴων βασιλέων καὶ ἐθνῶν παρεφύλαττε,
the crossing of-the eastern kings and nations watched-against
τὴν ἡμίσειαν ἄγειν ἐπὶ τῆς Ἰουδαίας τὸν ἀνδριάντα
the half to-lead to — Judea the statue
παραπέμψουσαν, οὐχ ἵνα σεμνοποιήσῃ τὴν ἀνάθεσιν,
going-to-escort not so-that it-may-make-august the dedication
ἀλλ' ἵνα, εἰ διακωλύοι τις, εὐθὺς ἀπόληται.
but so-that if should-hinder anyone at-once he-may-perish
τί λέγεις, ὦ δέσποτα; προειληφὼς οὐκ ἀνεξομένους, 208
what do-you-say O master having-anticipated not going-to-endure
ἀλλ' ὑπερασπιοῦντας τοῦ νόμου καὶ προαποθανουμένους
but going-to-defend the law and going-to-die-first

τῶν πατρίων πολεμοποιεῖς; οὐ γὰρ ἔοικας δι᾽ ἄγνοιαν
for-the ancestral-things do-you-make-war not for you-seem through ignorance
ὧν εἰκὸς ἦν ἀποβήσεσθαι τοῦ περὶ τὸ ἱερὸν ἅψασθαι
of-what likely was to-be-going-to-result the about the temple to-have-touched
νεωτερισμοῦ, προμαθὼν δὲ ἀκριβῶς τὰ μέλλοντα
innovation having-learned-beforehand but precisely the future
ὡς ἤδη παρόντα καὶ τὰ γενησόμενα ὡς χειριζόμενα
as already present and the-things going-to-happen as being-handled
τὴν στρατιὰν εἰσάγειν προσέταξας, ἵνα θυσίαις ἐναγέσι
the army to-lead-in you-ordered so-that with-sacrifices accursed
πρώταις καθιερωθῇ τὸ ἀφίδρυμα, σφαγαῖς ἀθλίων
first may-be-consecrated the image with-slaughters of-wretched
ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν.
men together and women

209 ὁ μὲν οὖν Πετρώνιος τὰ ἐπισταλέντα διαναγνοὺς ἐν
— *indeed then Petronius the-things written having-read-through in*
ἀμηχάνοις ἦν, οὔτε ἐναντιοῦσθαι δυνάμενος διὰ φόβον —
helplessness was neither to-oppose being-able through fear
ᾔδει γὰρ ἀφόρητον οὐ μόνον κατὰ τῶν τὰ κελευσθέντα
he-knew for unbearable not only against those the-things bidden
μὴ πραξάντων, ἀλλὰ καὶ κατὰ τῶν μὴ εὐθύς — οὔτε
not having-done but also against those not at-once nor
ἐγχειρεῖν εὐμαρῶς· ᾔδει γὰρ ἀνθ᾽ ἑνὸς θανάτου μυρίους
to-undertake easily he-knew for instead-of one death ten-thousand
ἄν, εἴπερ δυνατὸν ἦν, ἐθελήσοντας ὑπομεῖναι μᾶλλον
— if-indeed possible it-were going-to-be-willing to-endure rather
ἢ περιιδεῖν τι τῶν ἀπειρημένων δρώμενον.
than to-overlook anything of-the forbidden being-done

210 ἅπαντες γὰρ ἄνθρωποι φυλακτικοὶ τῶν ἰδίων ἐθῶν εἰσι,
all for men guardians of-the own customs are
διαφερόντως δὲ τὸ Ἰουδαίων ἔθνος· θεόχρηστα γὰρ
especially and the of-Jews nation god-given for

λόγια τοὺς νόμους εἶναι ὑπολαμβάνοντες καὶ τοῦτο ἐκ
oracles the laws to-be supposing and this from
πρώτης ἡλικίας τὸ μάθημα παιδευθέντες ἐν ταῖς ψυχαῖς
first age the lesson having-been-taught in the souls
ἀγαλματοφοροῦσι τὰς τῶν διατεταγμένων εἰκόνας·
they-carry-as-images the of-the ordained images
εἶτα ἐναργεῖς τύπους καὶ μορφὰς αὐτῶν καθορῶντες 211
then clear outlines and shapes of-them beholding
ἀεὶ τοῖς λογισμοῖς αὑτῶν τεθήπασι· καὶ τοὺς μὲν
always in-the reasonings their they-are-amazed and those indeed
τιμητικῶς ἔχοντας ἀλλοφύλους αὐτῶν οὐχ ἧττον τῶν
honorably disposed foreigners toward-them no less than-the
ἰδίων ἀποδέχονται πολιτῶν, τοῖς δὲ ἢ καθαιροῦσιν ἢ
own receive citizens those but either destroying or
χλευάζουσιν ὡς πολεμιωτάτοις ἀπέχθονται· καὶ πεφρίκασι
mocking as most-hostile they-hate and they-shudder-at
μὲν ἕκαστον τῶν διηγορευμένων οὕτως, ὡς ἅπασαν
indeed each of-the-things declared so that all
τὴν παρ᾽ ἀνθρώποις εἴτε εὐτυχίαν εἴτε εὐδαιμονίαν
the among men whether good-fortune or happiness
χρὴ καλεῖν μηδέποτ᾽ ἂν ὑπὲρ παραβάσεως καὶ τοῦ
it-is-needful to-call never — for transgression even of-the
τυχόντος ἂν ὑπαλλάξασθαι.
chance-thing — to-exchange
περιττοτέρα δὲ καὶ ἐξαίρετός ἐστιν αὐτοῖς ἅπασιν ἡ 212
more-abundant and and exceptional is for-them all the
περὶ τὸ ἱερὸν σπουδή. τεκμήριον δὲ μέγιστον· θάνατος
about the temple zeal proof and greatest death
ἀπαραίτητος ὥρισται κατὰ τῶν εἰς τοὺς ἐντὸς περιβόλους
inexorable has-been-fixed against those into the inner enclosures

παρελθόντων — δέχονται γὰρ εἰς τοὺς ἐξωτέρω τοὺς
having-entered they-receive for into the outer those
πανταχόθεν πάντας — τῶν οὐχ ὁμοεθνῶν.
from-everywhere all of-the not same-nation
213 εἰς δὴ ταῦτα ἀφορῶν ὁ Πετρώνιος βραδὺς ἦν
at indeed these-things looking — Petronius slow was
ἐγχειρητής, ὅσον τόλμημα μεγαλουργεῖται σκεπτόμενος,
executor how-great daring is-being-wrought considering
καὶ συγκαλέσας ὡς ἐν συνεδρίῳ τοὺς τῆς ψυχῆς ἅπαντας
and having-convened as in council the of-the soul all
λογισμοὺς τὴν ἑκάστου γνώμην διηρεύνα καὶ πάντας
reasonings the of-each judgment he-searched and all
εὕρισκεν ὁμογνωμονοῦντας περὶ τοῦ μηδὲν κινεῖν τῶν
he-found agreeing about the nothing to-move of-the-things
ἐξ ἀρχῆς καθωσιωμένων, πρῶτον διὰ τὸ φύσει δίκαιον
from beginning consecrated first because-of the by-nature just
καὶ εὐσεβές, ἔπειτα διὰ τὸν ἐπικρεμάμενον κίνδυνον,
and pious then because-of the impending danger
οὐκ ἐκ θεοῦ μόνον ἀλλὰ καὶ τῶν ἐπηρεαζομένων.
not from god only but also from-those being-insulted
214 ἔννοιά τε αὐτὸν εἰσῄει τοῦ ἔθνους, ὅσον ἐστὶν ἐν
thought both him entered of-the nation how-great it-is in
πολυανθρωπίᾳ, ὅπερ οὐκ ἐδέξατο καθάπερ τῶν ἄλλων
populousness which not received as of-the others
ἕκαστον μιᾶς χώρας τῆς ἀποκεκληρωμένης αὐτῷ μόνῳ
each of-one country the allotted to-it alone
περίβολος, ἀλλ᾽ ὀλίγου δέω φάναι πᾶσα ἡ οἰκουμένη·
circuit but little I-lack to-say all the inhabited-world
κέχυται γὰρ ἀνά τε τὰς ἠπείρους καὶ νήσους ἁπάσας,
it-is-spread for through both the mainlands and islands all
ὡς τῶν αὐθιγενῶν μὴ πολλῷ τινι δοκεῖν ἐλαττοῦσθαι.
so-that than-the natives not by-much some to-seem to-be-inferior

τοσαύτας μυριάδας ἐφέλκεσθαι πολεμίων ἆρ᾽ οὐ 215
so-many tens-of-thousands to-draw-on of-enemies is-it not
σφαλερώτατον; ἀλλὰ μήποτε γένοιτο συμφρονήσαντας
most-perilous but never may-it-happen having-agreed
τοὺς ἑκασταχοῦ πρὸς ἄμυναν ἐλθεῖν· ἄμαχόν τι
those everywhere for defense to-come irresistible something
συμβήσεται χρῆμα· δίχα τοῦ καὶ τοὺς τὴν Ἰουδαίαν
will-result thing apart-from the also those — Judea
κατοικοῦντας ἀπείρους τε εἶναι τὸ πλῆθος καὶ τὰ
inhabiting countless both to-be in-the multitude and in-the
σώματα γενναιοτάτους καὶ τὰς ψυχὰς εὐτολμοτάτους
bodies most-noble and in-the souls most-daring
καὶ προαποθνήσκειν αἱρουμένους τῶν πατρίων ὑπὸ
and to-die-first choosing for-the ancestral-things through
φρονήματος, ὡς μὲν ἔνιοι τῶν διαβαλλόντων εἴποιεν ἄν,
spirit as indeed some of-the slanderers would-say —
βαρβαρικοῦ, ὡς δὲ ἔχει τἀληθές, ἐλευθερίου καὶ εὐγενοῦς.
barbarian as but holds the-truth free and noble
ἐφόβουν δὲ αὐτὸν καὶ αἱ πέραν Εὐφράτου δυνάμεις· 216
frightened and him also the beyond Euphrates forces
ᾔδει γὰρ Βαβυλῶνα καὶ πολλὰς ἄλλας τῶν σατραπειῶν
he-knew for Babylon and many other of-the satrapies
ὑπὸ Ἰουδαίων κατεχομένας, οὐκ ἀκοῇ μόνον ἀλλὰ καὶ
by Jews occupied not by-hearsay only but also
πείρᾳ· καθ᾽ ἕκαστον γὰρ ἐνιαυτὸν ἱεροπομποὶ στέλλονται
by-experience in each for year sacred-envoys are-sent
χρυσὸν καὶ ἄργυρον πλεῖστον κομίζοντες εἰς τὸ ἱερὸν τὸν
gold and silver very-much bringing to the temple the
ἀθροισθέντα ἐκ τῶν ἀπαρχῶν, δυσβάτους καὶ ἀτριβεῖς
collected from the first-fruits impassable and untrodden

καὶ ἀνηνύτους ὁδοὺς περαιούμενοι, ἃς λεωφόρους εἶναι
and endless roads crossing which highways to-be
νομίζουσιν, ὅτι πρὸς εὐσέβειαν ἄγειν δοκοῦσι.
they-think because to piety to-lead they-seem
217 περιδεὴς οὖν ὡς εἰκὸς ἦν, μὴ πυθόμενοι τὴν καινουργουμένην
very-afraid then as likely was lest having-learned-of the being-innovated
ἀνάθεσιν ἐπιφοιτήσωσιν ἐξαίφνης καὶ περίσχωσιν, οἱ μὲν
dedication they-come suddenly and surround the(-ones) indeed
ἔνθεν οἱ δὲ ἔνθεν, κύκλος γενόμενοι, καὶ συνάψαντες
from-here the(-others) and from-there circle having-become and having-joined
ἀλλήλοις τοὺς ἐναποληφθέντας μέσους δεινὰ
to-one-another those cut-off in-the-middle terrible-things
ἐργάσωνται. τοιούτοις μὲν λογισμοῖς χρώμενος ἀπώκνει.
they-do with-such indeed reasonings using he-hesitated
218 πάλιν δὲ ὑπὸ τῶν ἐναντίων ἀνθείλκετο, "δεσπότου" λέγων
again and by the opposite he-was-drawn-back of-master saying
"ἡ πρόσταξίς ἐστι καὶ νέου καὶ ὅ τι ἂν βουληθῇ τοῦτο
the order is and young and what ever — he-wish this
συμφέρον κρίνοντος καὶ τὸ γνωσθὲν ἅπαξ ἐπιτελεσθῆναι,
advantageous judging and the decided once to-be-accomplished
κἂν ἀλυσιτελέστατον ᾖ καὶ φιλονεικίας καὶ ἀλαζονείας
even-if most-unprofitable it-be and of-contentiousness and of-arrogance
γέμον, ὅς γε καὶ ὑπερπηδήσας τὸν ἄνθρωπον ἐν θεοῖς
full who at-least even having-leapt-over the man among gods
ἤδη γράφει ἑαυτόν. ἐπικρέμαται δή μοι κίνδυνος ὁ περὶ
already writes himself hangs indeed over-me danger the about
ψυχῆς καὶ ἐναντιωθέντι καὶ εἴξαντι, ἀλλ' εἴξαντι μὲν μετὰ
life both having-opposed and having-yielded but having-yielded indeed with
πολέμου καὶ τάχα ἀμφίβολος καὶ οὐ πάντως ἀποβησόμενος,
war and perhaps doubtful and not altogether going-to-happen
ἐναντιωθέντι δὲ ἀπαραίτητος καὶ ὁμολογούμενος ἐκ Γαΐου."
having-opposed but inexorable and acknowledged from Gaius

Many of his Roman colleagues agree with his caution, and Petronius gains time by having the statue made in Phoenicia. He summons the Jewish leaders to persuade them, but they lament, and when the people of Jerusalem and the country hear, they come out in a vast crowd, men, women, and children, and fall before him. The elders say that they are unarmed, that they were the first in Syria to celebrate Gaius' accession and sacrificed for him, and ask only that nothing new be done in the Temple; otherwise they would sooner kill their own families and themselves than see it defiled. Their last plea is for time to send an embassy to Gaius.

συνελάμβανον δὲ τῇ γνώμῃ ταύτῃ πολλοὶ τῶν συνδιεπόντων 219
supported and the judgment this many of-those administering-with
τὰ κατὰ Συρίαν αὐτῷ Ῥωμαίων, εἰδότες ὅτι καὶ ἐπ'
the-things in Syria with-him of-Romans knowing that also against
αὐτοὺς πρώτους αἱ ἀπὸ Γαΐου χωρήσουσιν ὀργαὶ καὶ
them first the from Gaius will-go angers and
τιμωρίαι ὡς συναιτίους τοῦ τὸ κελευσθὲν μὴ γενέσθαι.
punishments as accomplices of-the the bidden not to-happen
παρέσχε δὲ εἰς ἀκριβεστέραν σκέψιν ἀναχώρησιν ἡ 220
provided and for more-exact consideration respite the
κατασκευὴ τοῦ ἀνδριάντος· οὔτε γὰρ ἀπὸ τῆς Ῥώμης
construction of-the statue neither for from — Rome
διεπέμψατο — θεοῦ μοι προνοίᾳ δοκῶ τὴν χεῖρα τῶν
he-sent-it of-god to-me by-providence I-think the hand of-the
ἀδικουμένων ἀφανῶς ὑπερέχοντος — οὔτε τῶν κατὰ
wronged invisibly holding-over nor of-the-things in
Συρίαν ὅστις ἂν ἄριστος εἶναι δοκιμασθῇ μετακομίζειν
Syria whatever — best to-be be-approved to-bring
προσέταξεν, ἐπεὶ κἂν τῷ τάχει τῆς παρανομίας ταχὺς
he-ordered since even by-the speed of-the lawlessness quickly
ἐξήφθη ὁ πόλεμος.
would-have-been-kindled the war

221 καιρὸν οὖν σχὼν εἰς τὴν τοῦ συμφέροντος διάσκεψιν —
time then having for the of-the advantageous consideration
τὰ γὰρ αἰφνίδια καὶ μεγάλα, ὅταν ἀθρόα προσπέσῃ,
the for sudden and great-things when all-together they-fall-on
κατακλᾷ τὸν λογισμόν — προστάττει τὴν κατασκευὴν ἔν
breaks the reasoning he-orders the construction in
τινι τῶν ὁμόρων ποιεῖσθαι.
some of-the neighboring-places to-be-made

222 μεταπεμψάμενος οὖν ὁ Πετρώνιος δημιουργοὺς τῶν ἐν
having-sent-for then — Petronius craftsmen of-those in
Φοινίκῃ τοὺς φρονιμωτάτους δίδωσι τὴν ὕλην· οἱ δὲ ἐν
Phoenicia the most-skilled gives the material they and in
Σιδῶνι εἰργάζοντο. μεταπέμπεται δὲ καὶ τοὺς ἐν τέλει τῶν
Sidon worked he-sends-for and also those in office of-the
Ἰουδαίων ἱερεῖς τε καὶ ἄρχοντας, ἅμα μὲν δηλώσων
Jews priests both and rulers at-once indeed going-to-declare
τὰ ἀπὸ Γαΐου, ἅμα δὲ καὶ συμβουλεύσων ἀνέχεσθαι
the-things from Gaius at-once and also going-to-advise to-endure
τῶν ὑπὸ τοῦ δεσπότου προσταττομένων καὶ τὰ δεινὰ
the-things by the master being-ordered and the terrible-things
πρὸ ὀφθαλμῶν λαμβάνειν· εὐτρεπεῖς γὰρ εἶναι τῶν κατὰ
before eyes to-take ready for to-be of-the in
Συρίαν στρατιωτικῶν δυνάμεων τὰς μαχιμωτέρας, αἳ
Syria military forces the more-warlike which
πᾶσαν τὴν χώραν καταστορέσουσι νεκρῶν.
all the country will-strew with-corpses

223 ᾤετο γάρ, εἰ προμαλάξειε τούτους, δυνήσεσθαι
he-thought for if he-should-soften-beforehand these to-be-going-to-be-able
δι᾽ αὐτῶν καὶ τὴν ἄλλην πληθὺν ἅπασαν ἀναδιδάξαι
through them also the other multitude all to-teach
μὴ ἐναντιοῦσθαι· γνώμης δέ, ὡς εἰκός, διημάρτανε.
not to-oppose of-judgment but as likely he-erred

πληχθέντας γάρ φασιν ὑπὸ τῶν πρώτων ῥημάτων εὐθὺς
struck for they-say by the first words at-once
αὐτοὺς ἀήθους κακοῦ διηγήσει καταπαγῆναι καὶ ἀχανεῖς
them of-unaccustomed evil by-the-telling to-have-been-frozen and gaping
γενομένους φοράν τινα δακρύων ὥσπερ ἀπὸ πηγῶν
having-become flood some of-tears as from springs
ἀθρόαν ἐκχεῖν, τὰ γένεια καὶ τὰς τρίχας τῆς κεφαλῆς
all-together to-pour-out the beards and the hairs of-the head
τίλλοντας καὶ τοιαῦτα ἐπιλέγοντας·
plucking and such-things adding
"πολλὰ εἰσηνέγκαμεν εἰς εὐγήρω βίον οἱ λίαν εὐτυχεῖς, 224
much we-contributed for happy-in-old-age life the too fortunate
ἵνα ὃ μηδεὶς πώποτε εἶδε τῶν προγόνων ἡμεῖς θεασώμεθα·
so-that what no-one ever saw of-the ancestors we may-behold
τίσιν ὀφθαλμοῖς; ἐκκοπήσονται πρότερον μετὰ τῆς
with-what eyes they-will-be-gouged-out sooner with the
ἀθλίας ψυχῆς καὶ τῆς ἐπωδύνου ζωῆς ἢ τοιοῦτον ὄψονται
wretched soul and the painful life than such they-will-see
κακόν, ἀθέατον θέαν, ἣν οὔτε ἀκοῦσαι θέμις οὔτε νοῆσαι."
evil unseeable sight which neither to-hear lawful nor to-think
Καὶ οἱ μὲν τοιαῦτα ὠλοφύροντο. πυθόμενοι δὲ οἱ κατὰ 225
and they indeed such-things lamented having-learned and those in
τὴν ἱερόπολιν καὶ τὴν ἄλλην χώραν τὸ κινούμενον, ὥσπερ
the holy-city and the other country the being-moved as
ἀφ' ἑνὸς συνθήματος συνταξάμενοι, τοῦ κοινοῦ πάθους τὸ
from one signal having-formed-ranks the common suffering the
σύνθημα δόντος, ἐξεληλύθεσαν ἀθρόοι καὶ κενὰς τὰς πόλεις
signal having-given had-come-out in-throngs and empty the cities
καὶ κώμας καὶ οἰκίας ἀπολιπόντες μιᾷ ῥύμῃ συνέτεινον
and villages and houses leaving with-one rush they-hastened
εἰς Φοινίκην· ἐκεῖ γὰρ ὢν ἐτύγχανεν ὁ Πετρώνιος.
to Phoenicia there for being happened — Petronius

226 ἰδόντες δὲ τῶν Πετρωνίου τινὲς ὄχλον ἀμύθητον φερόμενον
having-seen and of-the of-Petronius some crowd untold being-carried
ἐβοηδρόμουν ἀπαγγέλλοντες, ἵνα φυλάττηται, πόλεμον
ran-to-help reporting so-that he-might-be-on-guard war
προσδοκήσαντες. ἔτι δὲ διηγουμένων, ὁ μὲν ἀφρούρητος
having-expected still and them-telling he indeed unguarded
ἦν, ἡ δὲ τῶν Ἰουδαίων πληθὺς ἐξαπιναίως ὥσπερ νέφος
was the but of-the Jews multitude suddenly like cloud
ἐπιστᾶσα πᾶσαν Φοινίκην ἐπέσχε, κατάπληξιν τοῖς οὐκ
having-stood-over all Phoenicia covered amazement in-those not
εἰδόσι τὴν τοῦ ἔθνους πολυανθρωπίαν ἐργασαμένη.
knowing the of-the nation populousness having-caused
227 καὶ βοὴ μὲν τοσαύτη τὸ πρῶτον ἤρθη μετὰ κλαυθμῶν
and shout indeed so-great the first was-raised with weepings
καὶ στερνοτυπιῶν, ὡς ἂν μηδὲ τὰς ἀκοὰς τῶν παρόντων
and breast-beatings as — not-even the ears of-those present
χωρεῖν τὸ μέγεθος· οὐδὲ γὰρ ἐπαύσατο πανσαμένων, ἀλλ᾽
to-hold the size nor for it-ceased them-having-ceased but
ἡσυχασάντων ἔτι συνήχει. ἔπειτα πρόσοδοι καὶ δεήσεις,
having-been-quiet still it-resounded then approaches and entreaties
οἵας ὁ καιρὸς ὑπέβαλλε· διδάσκαλοι γὰρ τοῦ παρόντος
such-as the occasion suggested teachers for of-the present
αὐταὶ αἱ συμφοραί. εἰς τάξεις δὲ ἓξ διενεμήθησαν,
the-very the misfortunes into ranks and six they-were-divided
πρεσβυτῶν, νέων, παίδων, πάλιν ἐν μέρει πρεσβυτίδων,
of-old-men of-young of-boys again in turn of-old-women
γυναικῶν τῶν ἐν ἡλικίᾳ, παρθένων.
of-women of-those in age of-maidens
228 ἐπεὶ δὲ ὁ Πετρώνιος ἐξ ἀπόπτου κατεφάνη, πᾶσαι
when and — Petronius from far-off came-into-view all
αἱ τάξεις καθάπερ κελευσθεῖσαι προσπίπτουσιν εἰς
the ranks as-if having-been-bidden fall to

ἔδαφος ὀλολυγὴν θρηνώδη τινὰ μεθ᾽ ἱκετηριῶν ἀφιεῖσαι.
ground wail mournful some with supplications sending-forth
παραινέσαντος δὲ ἀνίστασθαι καὶ προσελθεῖν ἐγγυτέρω,
having-urged and to-rise and to-approach nearer
μόλις ἀνίσταντο καὶ καταχεάμενοι πολλὴν κόνιν καὶ
hardly they-rose and having-poured-on-themselves much dust and
ῥεόμενοι δακρύοις, τὰς χεῖρας ἀμφοτέρας εἰς τοὐπίσω
streaming with-tears the hands both to behind
περιαγαγόντες τρόπον ἐξηγκωνισμένων, προσήεσαν.
having-brought-round like bound-men they-approached
εἶτα ἡ γερουσία καταστᾶσα τοιάδε ἔλεξεν· "ἄοπλοι μέν 229
then the council-of-elders having-stood such-things said unarmed indeed
ἐσμεν, ὡς ὁρᾷς, παραγενομένους δὲ αἰτιῶνταί τινες ὡς
we-are as you-see having-come but accuse some as
πολεμίους. ἃ δὲ ἡ φύσις ἑκάστῳ προσένειμεν ἀμυντήρια
enemies which but the nature to-each assigned defensive
μέρη, χεῖρας, ἀπεστρόφαμεν, ἔνθα μηδὲν ἐργάσασθαι
parts hands we-have-turned-away where nothing to-do
δύνανται, παρέχοντες αὑτῶν τὰ σώματα πρὸς εὐσκόπους
they-can offering our the bodies for well-aimed
τοῖς θέλουσιν ἀποκτεῖναι βολάς.
to-those wishing to-kill throws
γυναῖκας καὶ τέκνα καὶ γενεὰς ἐπηγαγόμεθά σοι καὶ 230
wives and children and families we-have-brought to-you and
διὰ σοῦ προσεπέσομεν Γαΐῳ μηδένα οἴκοι καταλιπόντες,
through you we-have-fallen-before Gaius no-one at-home having-left
ἵνα ἢ περισώσητε πάντας ἢ πάντας πανωλεθρίᾳ
so-that either you-may-save all or all in-utter-destruction
διαφθείρητε. Πετρώνιε, καὶ τὰς φύσεις ἐσμὲν εἰρηνικοὶ
destroy Petronius both in-the natures we-are peaceful

καὶ τὴν προαίρεσιν, καὶ αἱ διὰ παιδοτροφίαν φιλεργίαι
and in-the choice and the through child-rearing industries
τοῦτο ἡμᾶς ἐξ ἀρχῆς ἐπαίδευσαν τὸ ἐπιτήδευμα.
this us from beginning taught the practice
231 Γαΐῳ παραλαβόντι τὴν ἡγεμονίαν πρῶτοι τῶν κατὰ
with-Gaius having-taken-over the empire first of-those in
Συρίαν ἁπάντων ἡμεῖς συνήσθημεν, Οὐιτελλίου τότε, παρ᾽
Syria all we rejoiced-with-him Vitellius then from
οὗ διεδέξω τὴν ἐπιτροπήν, ἐν τῇ πόλει διατρίβοντος, ᾧ
whom you-succeeded the governorship in the city staying to-whom
τὰ περὶ τούτων ἐκομίσθη γράμματα, καὶ ἀπὸ τῆς ἡμετέρας
the about these-things were-brought letters and from the our
πόλεως εὐαγγελιουμένη πρὸς τὰς ἄλλας ἔδραμεν ἡ φήμη.
city to-bring-good-news to the others ran the report
232 πρῶτον τὸ ἡμέτερον ἱερὸν ἐδέξατο τὰς ὑπὲρ τῆς ἀρχῆς
first the our temple received the for the rule
Γαΐου θυσίας, ἵνα πρῶτον ἢ καὶ μόνον ἀφαιρεθῇ
of-Gaius sacrifices so-that first or even alone be-taken-away
τῆς θρησκείας τὸ πάτριον; ἐξιστάμεθα τῶν πόλεων,
of-the worship the ancestral we-withdraw from-the cities
παραχωροῦμεν τῶν οἰκιῶν καὶ κτημάτων, ἔπιπλα καὶ
we-give-up the houses and possessions furniture and
χρήματα καὶ κειμήλια καὶ τὴν ἄλλην ἅπασαν λείαν
money and treasures and the other all plunder
εἰσοίσομεν ἑκόντες· λαμβάνειν, οὐ διδόναι, ταῦτα νομιοῦμεν.
we-will-bring willingly to-receive not to-give these-things we-shall-think
233 ἓν ἀντὶ πάντων αἰτούμεθα, μηδὲν ἐν τῷ ἱερῷ γενέσθαι
one instead-of all we-ask nothing in the temple to-happen
νεώτερον, ἀλλὰ φυλαχθῆναι τοιοῦτον, οἷον παρὰ τῶν
new but to-be-preserved such as from the
πάππων καὶ προγόνων παρελάβομεν. εἰ δὲ μὴ πείθομεν,
grandfathers and ancestors we-received if but not we-persuade

παραδίδομεν ἑαυτοὺς εἰς ἀπώλειαν, ἵνα μὴ ζῶντες
we-hand-over ourselves to destruction so-that not living
ἐπίδωμεν θανάτου χεῖρον κακόν. πυνθανόμεθα πεζὰς
we-may-see-besides than-death worse evil we-learn infantry
καὶ ἱππικὰς δυνάμεις εὐτρεπίσθαι καθ' ἡμῶν, εἰ
and cavalry forces to-have-been-made-ready against us if
πρὸς τὴν ἀνάθεσιν ἀντιβαίημεν. οὐδεὶς οὕτως μέμηνεν,
against the dedication we-should-oppose no-one so is-mad
ὡς δοῦλος ὢν ἐναντιοῦσθαι δεσπότῃ· παρέχομεν ἐν
as slave being to-oppose master we-offer in
ἑτοίμῳ τὰς σφαγὰς ἄσμενοι, κτεινέτωσαν, ἱερευέτωσαν,
readiness the throats gladly let-them-kill let-them-sacrifice
κρεανομείτωσαν ἀμαχεὶ καὶ ἀναιμωτί, πάντα ὅσα
let-them-distribute-the-flesh without-fight and without-bloodshed all as-many-as
κεκρατηκότων ἔργα δράτωσαν. τίς δὲ χρεία στρατιᾶς;
of-conquerors works let-them-do what but need of-army
αὐτοὶ κατάρξομεν τῶν θυμάτων οἱ καλοὶ ἱερεῖς, 234
ourselves we-will-begin the victims the fine priests
παραστησόμενοι τῷ ἱερῷ γυναῖκας οἱ γυναικοκτόνοι,
going-to-bring to-the temple wives the wife-killers
ἀδελφοὺς καὶ ἀδελφὰς οἱ ἀδελφοκτόνοι, κούρους καὶ κόρας,
brothers and sisters the brother-killers boys and girls
τὴν ἄκακον ἡλικίαν, οἱ παιδοφόνται· τραγικῶν γὰρ ὀνομάτων
the innocent age the child-slayers tragic for of-names
δεῖ τοῖς τὰς τραγικὰς συμφορὰς ὑπομένουσιν.
it-is-needful for-those the tragic misfortunes enduring
εἶτ' ἐν μέσοις στάντες καὶ λουσάμενοι τῷ συγγενικῷ 235
then in middle having-stood and having-bathed in-the kindred
αἵματι — τοιαῦτα γὰρ τὰ λουτρὰ τοῖς εἰς ᾅδου
blood such for the baths for-those to Hades

φαιδρυνομένοις — ἀνακερασόμεθα τὸ ἴδιον ἐπικατασφάξαντες
being-made-bright we-will-mix-in the own having-slaughtered-besides
αὐτούς.
ourselves
236 ἀποθανόντων τὸ ἐπίταγμα γενέσθω· μέμψαιτ' ἂν οὐδὲ
having-died the command let-be-done would-blame — not-even
θεὸς ἡμᾶς ἀμφοτέρων στοχαζομένους, καὶ τῆς πρὸς τὸν
god us both aiming-at both the toward the
αὐτοκράτορα εὐλαβείας καὶ τῆς πρὸς τοὺς καθωσιωμένους
emperor caution and the toward the consecrated
νόμους ἀποδοχῆς· γενήσεται δὲ τοῦτο, ἐὰν ὑπεκστῶμεν
laws acceptance will-happen and this if we-depart-from
ἀβιώτου βίου καταφρονήσαντες.
unlivable life having-despised
237 ἀκοὴν ἐδεξάμεθα παλαιτάτην ὑπὸ τῶν κατὰ τὴν Ἑλλάδα
report we-have-received most-ancient by the in the Greek-world
λογίων παραδοθεῖσαν, οἳ τὴν τῆς Γοργόνος κεφαλὴν
learned-men handed-down who the — of-Gorgon head
τοσαύτην ἔχειν δύναμιν ὡμολόγουν, ὥστε τοὺς προσιδόντας
so-great to-have power agreed that those having-looked-at
εὐθὺς λίθους καὶ πέτρους γίνεσθαι. τοῦτο μύθου μὲν
at-once stones and rocks to-become this of-myth indeed
πλάσμα ἔοικεν εἶναι, τὸ δ' ἀληθὲς αἱ μεγάλαι καὶ ἀβούλητοι
fiction seems to-be the but truth the great and unwished-for
καὶ ἀνήκεστοι συντυχίαι ἐπιφέρουσιν. ὀργαὶ δεσπότου
and incurable chances bring angers of-master
θάνατον ἀπεργάζονται ἢ παραπλήσιόν τι θανάτῳ.
death produce or similar something to-death
238 νομίζεις, ὃ μήποτε γένοιτο, παραπεμπόμενον εἰ θεάσαιντό
do-you-think which never may-it-happen being-escorted if should-see
τινες τῶν ἡμετέρων εἰς τὸ ἱερὸν τὸν ἀνδριάντα, οὐκ ἂν εἰς
some of-the ours into the temple the statue not — into

πέτρους μεταβαλεῖν, παγέντων μὲν αὐτοῖς τῶν ἄρθρων,
rocks to-change frozen indeed for-them the joints
παγέντων δὲ τῶν ὀφθαλμῶν, ὡς μηδὲ κινηθῆναι δύνασθαι,
frozen and the eyes so-that not-even to-be-moved to-be-able
ὅλου δὲ τοῦ σώματος τὰς φυσικὰς κινήσεις μεταβαλόντος
whole but the body the natural movements having-changed
καθ' ἕκαστον τῶν ἐν τῇ κοινωνίᾳ μερῶν αὐτοῦ;
in each of-the in the fellowship parts its
τελευταίαν δέησιν, ὦ Πετρώνιε, ποιησόμεθα δικαιοτάτην· 239
last entreaty O Petronius we-will-make most-just
οὔ φαμεν μὴ δεῖν τὰ κελευσθέντα δρᾶν, ἀλλ'
not we-say not to-be-needful the-things bidden to-do but
ἀναχώρησιν αἰτούμεθα προσικετεύοντες, ἵνα πρεσβείαν
respite we-ask supplicating so-that embassy
ἑλόμενοι πέμψωμεν τὴν ἐντευξομένην τῷ δεσπότῃ.
having-chosen we-may-send the(-one) going-to-meet the master
τάχα που πρεσβευσάμενοι πείσομεν, ἢ περὶ θεοῦ τιμῆς 240
perhaps somehow having-gone-on-embassy we-shall-persuade either about of-god honor
πως διεξελθόντες ἢ περὶ νομίμων ἀκαθαιρέτων φυλακῆς
somehow having-gone-through or about of-customs indestructible guarding
ἢ περὶ τοῦ μὴ πάντων καὶ τῶν ἐν ἐσχατιαῖς ἐθνῶν,
or about the not than-all even the in remotest-parts nations
οἷς τετήρηται τὰ πάτρια, ἔλαττον ἐνέγκασθαι
for-whom have-been-preserved the ancestral-things less to-receive
ἢ περὶ ὧν ὁ πάππος αὐτοῦ καὶ πρόπαππος ἔγνωσαν
or about what the grandfather his and great-grandfather decided
ἐπισφραγιζόμενοι τὰ ἡμέτερα ἔθη μετὰ πάσης ἐπιμελείας.
confirming the our customs with all care
ἴσως ταῦτα ἀκούων ἔσται μαλακώτερος· οὐκ ἐν ὁμοίῳ 241
perhaps these-things hearing he-will-be softer not in like-state
μένουσιν αἱ γνῶμαι τῶν μεγάλων, αἱ δὲ σὺν ὀργῇ καὶ
remain the judgments of-the great the and with anger also

τάχιστα κάμνουσι. διαβεβλήμεθα, τὰς διαβολὰς ἐπίτρεψον
most-quickly tire we-have-been-slandered the slanders allow
ἰάσασθαι· ἀκρίτους καταγνωσθῆναι χαλεπόν.
to-heal unjudged to-be-condemned hard
242 ἐὰν δὲ μὴ πείσωμεν, τί λοιπὸν ἐμποδών ἐστιν ταῦτα
if but not we-persuade what remaining in-the-way is these-things
ἃ καὶ νῦν διανοῇ πράττειν; ἕως οὗ πεπρεσβεύμεθα, μὴ
which also now you-intend to-do until when we-have-gone-on-embassy not
ἀποκόψῃς τὰς ἀμείνους ἐλπίδας μυριάδων τοσούτων,
cut-off the better hopes of-tens-of-thousands so-many
αἷς οὐχ ὑπὲρ κέρδους ἀλλ᾽ ὑπὲρ εὐσεβείας ἐστὶν ἡ
to-whom not for gain but for piety is the
σπουδή. καίτοι γε ἡμάρτομεν τοῦτο εἰπόντες· τί γὰρ
zeal and-yet indeed we-erred this having-said what for
ἂν εἴη κέρδος λυσιτελέστερον ὁσιότητος ἀνθρώποις;"
— would-be gain more-profitable than-holiness for-men

XIII · PETRONIUS DELAYS

Petronius, moved and touched with some sympathy for the Jewish religion, resolves with his council not to hurry the artists, not to allow the embassy, and to give the people neither yes nor no, and writes to Gaius without accusing the Jews: the harvest is ripe and might be burned in despair, and Syria must provision his expected journey to Alexandria. Gaius reads the letter swelling with anger at Petronius' care for the Jews, but answers with praise for his foresight, hiding his rage, and orders the statue set up at once, since the harvest can now be in.

243 Ταῦτα δὲ διεξήεσαν ὑπ᾽ ἀγωνίας καὶ περιπαθήσεως
these-things and they-went-through through agony and deep-emotion
ἄσθματι πολλῷ, κεκομμένῳ τῷ πνεύματι, ῥεόμενοι κατὰ
with-panting much broken the breath streaming down

τῶν μελῶν ἁπάντων ἱδρῶτι, μετὰ φορᾶς ἀπαύστων
the limbs all with-sweat with flood of-unceasing
δακρύων, ὡς ἤδη συναλγεῖν τοὺς ἀκούοντας καὶ τὸν
tears so-that already to-grieve-with-them those hearing and —
Πετρώνιον — ἦν γὰρ καὶ τὴν φύσιν εὐμενὴς καὶ ἥμερος —
Petronius was for also in-the nature kindly and gentle
ὑπὸ τῶν λεχθέντων καὶ ὁρωμένων συνηρπάσθαι·
by the-things said and seen to-have-been-carried-away
ἐδόκει γὰρ αὐτῷ καὶ τὰ λεγόμενα εἶναι δικαιότατα
it-seemed for to-him both the-things said to-be most-just
καὶ οἰκτρά τις ἡ τῶν ὁρωμένων περιπάθησις.
and piteous some the of-the seen emotion
ἐπεξαναστὰς δὲ μετὰ τῶν συνέδρων ἐβουλεύετο τὰ 244
having-risen and with the councilors he-deliberated the-things
πρακτέα καὶ ἑώρα τοὺς μὲν πρὸ μικροῦ παντάπασιν
to-be-done and he-saw those indeed before little altogether
ἐναντιουμένους ἐπαμφοτερίζοντας, τοὺς δὲ ἐνδοιαστὰς
opposing wavering those and doubtful
ἐπιρρέποντας ἤδη τῷ πλείονι μέρει πρὸς ἔλεον· ἐφ᾽
inclining already with-the greater part to pity at
οἷς ἥδετο, καίτοι τὴν φύσιν εἰδὼς τοῦ προεστῶτος
which he-was-pleased and-yet the nature knowing of-the presiding-one
καὶ ὡς ἔστιν ἀπαραίτητος ὀργήν.
and that he-is implacable in-anger
ἀλλ᾽ εἶχέ τινα καὶ αὐτός, ὡς ἔοικεν, ἐναύσματα τῆς 245
but he-had some also himself as it-seems sparks of-the
Ἰουδαϊκῆς φιλοσοφίας ἅμα καὶ εὐσεβείας, εἴτε καὶ πάλαι
Jewish philosophy at-once and piety whether also long-ago
προμαθὼν ἕνεκα τῆς περὶ παιδείαν σπουδῆς εἴτε καὶ
having-learned for-the-sake of-the about education zeal or also
ἀφ᾽ οὗ τῶν χώρων ἐπετρόπευσεν, ἐν οἷς Ἰουδαῖοι καθ᾽
from when the regions he-governed in which Jews in

ἑκάστην πόλιν εἰσὶ παμπληθεῖς, Ἀσίας τε καὶ Συρίας, εἴτε
each city are very-numerous of-Asia both and Syria or
καὶ τὴν ψυχὴν οὕτω διατεθεὶς αὐτηκόῳ καὶ αὐτοκελεύστῳ
also the soul so disposed by-self-listening and self-moved
καὶ αὐτομαθεῖ τινι πρὸς τὰ σπουδῆς ἄξια φύσει. τοῖς
and self-taught some toward the-things of-zeal worthy nature to-the
δὲ ἀγαθοῖς ἀγαθὰς ὑπηχεῖν ἔοικε γνώμας ὁ θεός, δι'
but good good to-suggest seems judgments the god through
ὧν ὠφελοῦντες ὠφεληθήσονται· ὅπερ κἀκείνῳ συνέβη.
which benefiting they-will-be-benefited which also-to-him happened
τίνες οὖν ἦσαν αἱ γνῶμαι;
what then were the judgments
246 μὴ κατεπείγειν τοὺς δημιουργούς, ἀλλ' ἀναπείθειν
not to-hurry the craftsmen but to-persuade
εὖ τετεχνιτευμένον ἀπεργάσασθαι τὸν ἀνδριάντα,
well wrought to-complete the statue
στοχαζομένους καθ' ὅσον ἂν οἷόν τε ᾖ μὴ ἀπολειφθῆναι
aiming as-far as — possible — be not to-fall-short
τῶν διωνομασμένων ἀρχετύπων εἰς πλείονος χρόνου μῆκος,
of-the famous archetypes for of-more time length
ἐπειδὴ τὰ μὲν αὐτοσχέδια φιλεῖ πως ἐπιτέμνεσθαι, τὰ
since the indeed improvised-things are-wont somehow to-be-cut-short the
δὲ σὺν πόνῳ καὶ ἐπιστήμῃ μῆκος χρόνων ἐπιζητεῖν.
but with labor and skill length of-times to-require
247 ἣν ᾐτήσαντο πρεσβείαν, οὐκ ἐπιτρέπειν· ἀσφαλὲς γὰρ
which they-asked embassy not to-allow safe for
οὐκ εἶναι. τοῖς βουλομένοις ἐπὶ τὸν πάντων ἡγεμόνα
not to-be for-those wishing to the of-all ruler
καὶ δεσπότην ἐκκαλεῖσθαι τὰ πράγματα μὴ ἐναντιοῦσθαι.
and master to-refer the affairs not to-oppose
τῷ πλήθει μήτε ὁμολογεῖν μήτε ἀρνεῖσθαι·
to-the multitude neither to-agree nor to-deny

ἑκάτερον γὰρ φέρειν κίνδυνον. ἐπιστέλλειν Γαΐῳ μηδὲν μὲν 248
each for to-bear danger to-write to-Gaius nothing indeed
τῶν Ἰουδαίων κατηγοροῦντα, μὴ δηλοῦντα δὲ ἐπ᾽ ἀληθείας
the Jews accusing not declaring but in truth
τὰς ἱκετείας καὶ ἀντιβολίας αὐτῶν, καὶ τῆς περὶ τὴν ἀνάθεσιν
the supplications and entreaties their and of-the about the dedication
βραδυτῆτος αἰτιᾶσθαι τὸ μέν τι τὴν κατασκευὴν
slowness to-blame partly indeed somewhat the construction
χρόνου μεμετρημένου δεομένην, τὸ δέ τι καὶ τὸν καιρὸν
time measured needing the(-other) and some also the season
διδόντα μεγάλας ἀφορμὰς εἰς ἀναβολὴν εὐλόγους, αἷς
giving great grounds for delay reasonable to-which
συναινέσειν οὐκ ἴσως ἀλλ᾽ ἀναγκαίως καὶ αὐτὸν Γάιον.
to-be-going-to-assent not perhaps but necessarily also himself Gaius
ἐν ἀκμῇ μὲν γὰρ τὸν τοῦ σίτου καρπὸν εἶναι καὶ τῶν 249
in prime indeed for the of-the grain crop to-be and of-the
ἄλλων ὅσα σπαρτά, δεδιέναι δὲ μὴ κατ᾽ ἀπόγνωσιν
others as-many-as sown to-fear but lest in despair
τῶν πατρίων ἄνθρωποι καὶ τοῦ ζῆν καταφρονοῦντες
of-the ancestral-things men also the to-live despising
ἢ δῃώσωσι τὰς ἀρούρας ἢ ἐμπρήσωσι τὴν σταχυηφόρον
either they-ravage the fields or burn the grain-bearing
ὀρεινὴν καὶ πεδιάδα, φυλακῆς δὲ χρῄζειν εἰς ἐπιμελεστέραν
mountain and plain of-guarding but to-need for more-careful
τῶν καρπῶν συγκομιδήν, οὐ μόνον τῶν σπειρομένων
of-the crops gathering not only of-the sown
ἀλλὰ καὶ ὧν ἡ δενδροφόρος παρέχει.
but also of-what the tree-bearing provides
διεγνώκει μὲν γάρ, ὡς λόγος, πλεῖν εἰς Ἀλεξάνδρειαν τὴν 250
he-had-decided indeed for as report to-sail to Alexandria the
πρὸς Αἰγύπτῳ, πελάγει δὲ οὐκ ἀξιώσει τοσοῦτος ἡγεμὼν
by Egypt by-open-sea but not will-deign so-great ruler

διά τε τοὺς κινδύνους καὶ διὰ τὸ πλῆθος τοῦ
because-of both the dangers and because-of the size of-the
παραπέμποντος στόλου καὶ ἅμα διὰ τὴν ἐπιμέλειαν
escorting fleet and at-once because-of the care
τοῦ σώματος, ἃ δὴ πάντα γίνεται ῥᾳδίως τὸν δι'
of-the body which indeed all comes-about easily the through
Ἀσίας καὶ Συρίας κύκλον περαιουμένῳ·
Asia and Syria circuit traversing
251 δυνήσεται γὰρ καθ' ἑκάστην ἡμέραν καὶ πλεῖν καὶ
he-will-be-able for on each day both to-sail and
ἀποβαίνειν, καὶ μάλιστα τὰς πλείστας ναῦς ἐπαγόμενος
to-disembark and most the most ships bringing
μακράς, ἀλλ' οὐχ ὁλκάδας, αἷς ὁ παρὰ γῆν πλοῦς
long but not merchantmen for-which the along land voyage
ἀνυσιμώτερος, ὡς ταῖς φορτίσι διὰ πελάγους ἐστίν.
more-practicable as for-the cargo-ships through open-sea is
252 ἀναγκαῖον οὖν καὶ χιλὸν κτήνεσι καὶ τροφὰς ἀφθόνους
necessary then both fodder for-beasts and foods abundant
ἐν ἁπάσαις ταῖς Συριακαῖς πόλεσιν εὐτρεπίσθαι, καὶ
in all the Syrian cities to-have-been-made-ready and
μάλιστα ταῖς παράλοις.
most the coastal
253 ἀφίξεται γὰρ παμπληθὴς ὄχλος καὶ διὰ γῆς καὶ διὰ
will-arrive for vast crowd both by land and by
θαλάττης, οὐ μόνον ἀπ' αὐτῆς Ῥώμης καὶ Ἰταλίας
sea not only from very Rome and Italy
ἀναστάς, ἀλλὰ καὶ ἀπὸ τῶν ἑξῆς ἄχρι Συρίας ἐπικρατειῶν
having-set-out but also from the next as-far-as Syria provinces
ἐπηκολουθηκώς, ὁ μὲν τῶν ἐν τέλει, ὁ δὲ
having-followed the(-one) indeed of-those in office the(-other) and
στρατιωτικός, ἱππέων, πεζῶν, τῶν ἐν ταῖς ναυσίν, ὁ
military of-horsemen of-foot-soldiers of-those in the ships the(-other)

δὲ οἰκετικὸς οὐκ ἀποδέων τοῦ στρατιωτικοῦ. δεῖ δὲ
and servile not falling-short of-the military it-is-needful and
χορηγιῶν οὐ πρὸς τὰ ἀναγκαῖα συμμεμετρημένων αὐτὸ
of-supplies not to the necessary measured itself
μόνον, ἀλλὰ καὶ πρὸς περιττὴν δαψίλειαν, ἣν ἐπιζητεῖ
only but also to excessive abundance which seeks
Γάιος. τούτοις ἐὰν ἐντύχῃ τοῖς γράμμασιν, ἴσως πρὸς
Gaius these if he-meets the letters perhaps besides
τῷ μὴ δυσχεραῖναι καὶ τῆς προνοίας ἡμᾶς ἀποδέξεται
the not to-be-displeased also for-the forethought us he-will-approve
ὡς ποιησαμένους τὴν ὑπέρθεσιν, οὐ χάριτι τῇ τῶν
as having-made the postponement not for-the-favor the of-the
Ἰουδαίων, ἀλλ' ἕνεκα τῆς τῶν καρπῶν συγκομιδῆς.
Jews but for-the-sake of-the of-the crops gathering
Ἀποδεξαμένων δὲ τὴν ἐπίνοιαν τῶν συνέδρων, κελεύει 254
having-approved and the plan the councilors he-orders
γράφεσθαι τὰς ἐπιστολὰς καὶ ἐχειροτόνει τοὺς διακομιοῦντας
to-be-written the letters and appointed those going-to-carry-them
ἄνδρας εὐζώνους, ἐθάδας δὲ καὶ τῶν κατὰ τὰς ὁδοιπορίας
men well-girt accustomed and also to-the on the journeys
ἐπιτομῶν.
short-cuts
καὶ οἱ μὲν ἥκοντες ἀνέδοσαν τὰς ἐπιστολάς, ὁ δ' 255
and they indeed having-arrived handed-over the letters he but
ἔτι μὲν ἀναγινώσκων διῴδει καὶ μεστὸς ἦν ὀργῆς ἐφ'
still indeed reading swelled and full was of-anger at
ἑκάστῳ σημειούμενος· ὡς δὲ ἐπαύσατο, συνεκρότει τὰς
each marking when but he-stopped he-clapped the
χεῖρας "εὖ, Πετρώνιε", φάσκων "οὐκ ἔμαθες ἀκούειν
hands well Petronius saying not you-learned to-obey
αὐτοκράτορος· αἱ ἐπάλληλοί σε ἀρχαὶ πεφυσήκασιν· ἄχρι
emperor the successive you offices have-puffed-up until

τοῦ παρόντος οὐδὲ ἀκοῇ γνωρίζειν μοι δοκεῖς Γάιον,
the present not-even by-hearsay to-know to-me you-seem Gaius
οὐκ εἰς μακρὰν αὐτοῦ πεῖραν ἕξεις.
not after long of-him experience you-will-have
256 μέλει μὲν γάρ σοι τῶν Ἰουδαϊκῶν νομίμων, ἐχθίστου
it-is-a-care indeed for to-you for-the Jewish customs of-most-hated
μοι ἔθνους, ἀλογεῖς δὲ τῶν ἄρχοντος ἡγεμονικῶν
to-me nation you-disregard but the of-ruler imperial
προστάξεων.
commands
257 ἐφοβήθης τὸ πλῆθος· εἶτα οὐ παρῆσαν αἱ στρατιωτικαὶ
you-feared the multitude then not were-present the military
δυνάμεις, ἃς δέδιεν ἔθνη τὰ ἑῷα καὶ ἡγεμόνες αὐτῶν
forces which fear nations the eastern and leaders their
Παρθυαῖοι; ἀλλ᾽ ἠλέησας· εἶτα οἴκτῳ μᾶλλον ἐνέδωκας ἢ
Parthians but you-pitied then to-pity rather did-you-yield than
Γαΐῳ; προφασίζου νῦν ἄμητον, τὸν ἀπροφάσιστον οὐκ εἰς
to-Gaius plead now harvest the without-pretext not after
μακρὰν ἐνδεξόμενος αὐτὸς τῇ κεφαλῇ· συγκομιδὴν αἰτιῶ
long going-to-receive yourself on-the head gathering allege
καρπῶν καὶ τὰς εἰς τὴν ἡμετέραν ἄφιξιν παρασκευάς·
of-crops and the for the our arrival preparations
εἰ γὰρ ἀφορία παντελὴς ἐπέσχε τὴν Ἰουδαίαν, οὐκ ἦσαν
if for barrenness total held — Judea not were
αἱ πλησιόχωροι τοσαῦται καὶ οὕτως εὐδαίμονες ἱκαναὶ
the neighboring-lands so-many and so prosperous sufficient
χορηγεῖν τὰ ἐπιτήδεια καὶ τὴν μιᾶς ἔνδειαν ἀναπληρῶσαι;
to-supply the necessities and the of-one want to-fill-up
258 ἀλλὰ τί προανίσταμαι τῶν χειρῶν; τί δέ μου τῆς
but why do-I-rise-before the hands why and my the
γνώμης προαισθάνονταί τινες; ὁ μέλλων τὰ ἐπίχειρα
judgment do-perceive-beforehand some the(-one) about-to the wages

καρποῦσθαι γινωσκέτω πρῶτος ἐξ ὧν ἂν πάθῃ. παύομαι
to-reap let-him-know first from what — he-suffers I-stop
λέγων, φρονῶν δὲ οὐ παύσομαι.”
speaking thinking but not I-will-stop
καὶ μικρὸν ὅσον ἐπισχών τινι τῶν πρὸς ταῖς 259
and little as-much-as having-paused to-one of-those at the
ἐπιστολαῖς ὑπέβαλε τὰς πρὸς Πετρώνιον ἀποκρίσεις,
letters he-dictated the to Petronius replies
ἐπαινῶν αὐτὸν ὅσα τῷ δοκεῖν εἰς τὸ προμηθὲς καὶ
praising him as-much-as by-the seeming for the forethought and
τὴν τοῦ μέλλοντος ἀκριβῆ περίσκεψιν· σφόδρα γὰρ τοὺς
the of-the future exact consideration greatly for those
ἐν ἡγεμονίαις εὐλαβεῖτο τὰς πρὸς νεωτεροποιίαν ἀφορμὰς
in commands he-was-wary-of the toward revolution resources
ὁρῶν ἔχοντας ἐν ἑτοίμῳ, καὶ μάλιστα τοὺς ἐν ταῖς
seeing having in readiness and most those in the
μεγάλαις καὶ μεγάλοις ἐπιτάττοντας στρατοπέδοις, ἡλίκα
great and great commanding armies how-great
τὰ πρὸς Εὐφράτῃ κατὰ Συρίαν ἐστίν.
those by Euphrates in Syria are
θεραπεύων οὖν τοῖς ὀνόμασι καὶ γράμμασιν ἄχρι καιροῦ 260
courting then with-the words and letters until occasion
τὸ ἔγκοτον ἐπεσκίαζε βαρύμηνις ὤν. εἶτα ἐπὶ πᾶσι
the rancor he-overshadowed bitter-in-wrath being then at all
γράφει κελεύων μηδενὸς οὕτω φροντίζειν ἢ τοῦ θᾶττον
writes bidding of-nothing so to-take-thought than of-the sooner
ἀνατεθῆναι τὸν ἀνδριάντα· καὶ γὰρ ἤδη τὰ θέρη, τὴν εἴτε
to-be-set-up the statue and for already the summers the whether
πιθανὴν εἴτε ἀληθῆ πρόφασιν, συγκεκομίσθαι δύνασθαι.
plausible or true pretext to-have-been-gathered to-be-able

Agrippa comes, as is his custom, to pay his respects, knowing nothing of Petronius' letter. Gaius, seeing his alarm, tells him that his good citizens, alone of mankind, refuse to acknowledge him as a god and have marched out of city and country against his order for the statue. Agrippa changes color, trembles, and would have fallen had bystanders not caught him, and is carried home insensible; Gaius grows angrier still, reasoning that if Agrippa so feels for the customs, the other Jews will resist the more. When Agrippa comes round he takes a fuller regimen only to help the nation, eats unwillingly, drinks only water, and writes a letter: he is a Jew, his fatherland Jerusalem, his ancestors kings and high priests, and he pleads for the nation, the city, and the Temple.

261 Μετ᾽ οὐ πολὺ μέντοι παρῆν Ἀγρίππας ὁ βασιλεὺς κατὰ
after not long however was-present Agrippa the king according-to
τὸ εἰωθὸς ἀσπασόμενος Γάιον. ᾔδει δὲ ἁπλῶς οὐδὲν οὔτε
the custom going-to-greet Gaius he-knew but simply nothing neither
ὧν ἐπεστάλκει ὁ Πετρώνιος οὔτε ὧν ὁ Γάιος ἢ
of-what had-written — Petronius nor of-what — Gaius either
πρότερον ἢ ὕστερον· ἐτεκμαίρετο μέντοι διὰ τῆς οὐκ ἐν
before or after he-guessed however through the not in
τάξει κινήσεως καὶ τῆς τῶν ὀμμάτων ταραχῆς ὑποτυφομένην
order movement and the of-the eyes disturbance smoldering
ὀργὴν καὶ ἀνεσκόπει καὶ διηρεύνα ἑαυτὸν πάντῃ καὶ
anger and he-examined and searched himself everywhere and
πρὸς πάντα μικρά τε αὖ καὶ μεγάλα τὸν λογισμὸν
to all-things small both in-turn and great the reasoning
ἀποτείνων, μή τι δέδρακεν ἢ εἶπεν ὧν οὐ χρή.
stretching lest anything he-had-done or said of-what not it-is-needful
262 ὡς δὲ συνόλως οὐδὲν εὕρισκεν, ἐτόπασεν, ὅπερ ἦν εἰκός,
when and altogether nothing he-found he-conjectured as was likely
ἑτέροις τισὶ πικραίνεσθαι. πάλιν δὲ ὅτε ὑποβλεπόμενον
at-others some to-be-embittered again but when looking-askance

εἶδε καὶ τετακότα τὰς ὄψεις πρὸς μηδένα τῶν
he-saw-him and having-fixed the eyes on no-one of-those
παρόντων ἢ μόνον ἐπ᾽ αὐτόν, ἐδεδίει καὶ πολλάκις ἐρέσθαι
present than only on him he-feared and often to-ask
διανοηθεὶς ἐπέσχε, τοιοῦτον λαμβάνων λογισμόν· “ἴσως
having-intended he-checked-himself such taking reasoning perhaps
τὴν ἀπειλὴν πρὸς ἑτέρους οὖσαν αὐτὸς ἕλξω περιεργίας
the threat against others being myself I-shall-draw of-meddlesomeness
ὁμοῦ καὶ προπετείας καὶ θράσους ὑπόληψιν ἐξενεγκάμενος.”
at-once and rashness and boldness suspicion having-incurred
ἐπτοημένον δ᾽ οὖν καὶ ἀποροῦντα θεασάμενος αὐτὸν 263
terrified but then and at-a-loss having-beheld him
Γάιος — ἦν γὰρ δεινὸς ἐκ τῆς φανερᾶς ὄψεως ἀφανὲς
Gaius he-was for clever from the visible face hidden
ἀνθρώπου βούλημα καὶ πάθος συνιδεῖν — “ἀπορεῖς”,
of-man intention and feeling to-perceive you-are-at-a-loss
εἶπεν “Ἀγρίππα; παύσω σε τῆς ἀπορίας.
he-said Agrippa I-will-stop you of-the perplexity
ἐπὶ τοσοῦτόν μοι χρόνον συνδιατρίψας ἠγνόησας, ὅτι 264
for so-long with-me time having-spent-time did-you-not-know that
οὐ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τοῖς ὄμμασι φθέγγομαι
not with-the voice only but also with-the eyes I-speak
μᾶλλον ἢ οὐχ ἧττον ἕκαστα διασημαίνων;
more or not less each-thing signifying
οἱ καλοί σου καὶ ἀγαθοὶ πολῖται, παρ᾽ οἷς μόνοις 265
the fine your and good citizens with whom alone
ἐξ ἅπαντος ἀνθρώπων γένους θεὸς οὐ νομίζεται Γάιος,
from all of-men race god not is-thought Gaius
ἤδη μοι δοκοῦσι καὶ θανατᾶν ἀφνιάζοντες· ἐμοῦ
already to-me seem even to-court-death rebelling me
κελεύσαντος ἐν τῷ ἱερῷ Διὸς ἀνδριάντα ἀνατεθῆναι,
having-ordered in the temple of-Zeus statue to-be-set-up

πανδημεὶ συνταξάμενοι τῆς πόλεως καὶ τῆς χώρας
all-together having-formed-ranks from-the city and the country
ὑπεξῆλθον, πρόφασιν ἱκετεύσοντες, τὸ δ' ἀληθὲς ἐναντία
went-out as-pretext going-to-supplicate in-the but truth contrary
τοῖς προστεταγμένοις ἐργασόμενοι."
to-the-things ordered going-to-do
266 μέλλοντος δὲ προσεπιφέρειν ἕτερα, ὑπ' ἀγωνίας
being-about and to-add other-things through agony
παντοδαπὰς χρόας ἐνήλλαττεν ἐν ταὐτῷ γινόμενος
all-kinds colors he-changed in the-same-time becoming
αἱμωπός, ὠχρός, πελιδνός.
blood-red pale livid
267 ἤδη δὲ καὶ ἀπὸ κεφαλῆς ἄκρας ἄχρι ποδῶν φρίκῃ
already and also from head top to feet with-shuddering
κατέσχητο, τρόμος τε καὶ σεισμὸς πάντα αὐτοῦ τὰ μέρη
he-was-seized trembling both and shaking all his the parts
καὶ τὰ μέλη συνεκύκα, χαλωμένων τε καὶ ἀνιεμένων τῶν
and the limbs confounded loosened both and relaxed the
σωματικῶν τόνων περὶ ἑαυτῷ κατέρρει καὶ τὰ τελευταῖα
bodily tensions about himself he-collapsed and the last
παρεθεὶς μικροῦ κατέπεσεν, εἰ μὴ τῶν παρεστώτων
having-been-paralyzed nearly fell if not of-those standing-by
τινὲς ὑπέλαβον αὐτόν· καὶ κελευσθέντες φοράδην οἴκαδε
some caught him and having-been-bidden carried home
κομίζουσιν οὐδενὸς συναισθανόμενον ὑπὸ κάρου τῶν
bring-him nothing perceiving through stupor of-the
ἀθρόων κατασκηψάντων κακῶν.
all-together having-fallen evils
268 ὁ μὲν οὖν Γάιος ἔτι μᾶλλον ἐξετραχύνθη τὸ κατὰ τοῦ
— indeed then Gaius still more was-exasperated the against the
ἔθνους μῖσος ἐπιτείνων· "εἰ γὰρ Ἀγρίππας" ἔφασκεν "ὁ
nation hatred intensifying if for Agrippa he-said the

συνηθέστατος καὶ φίλτατος καὶ τοσαύταις ἐνδεδεμένος
most-intimate and dearest and by-so-many bound
εὐεργεσίαις ἥττηται τῶν ἐθῶν, ὡς μηδὲ ἀκοὴν
103 Ἀγρίππας γὰρ ἐπιδημήσας ὁ βασιλεὺς διηγησαμένοις
Agrippa for having-visited the king having-narrated
ἡμῖν τὴν ἐκ Φλάκκου γενομένην ἐπιβουλὴν ἐπανορθοῦται
to-us the from Flaccus having-happened plot sets-right
τὸ πρᾶγμα καὶ ὑποσχόμενος τὸ ψήφισμα διαπέμψεσθαι
the matter and having-promised the decree to-be-going-to-send
λαβὼν ὡς ἀκούομεν ἔπεμψεν, ἀπολογησάμενος καὶ περὶ
having-received as we-hear sent having-apologized also about
τοῦ χρόνου, ὡς οὐκ ὀψὲ μαθόντων εὐσεβεῖν εἰς τὸν
the time as not late having-learned to-be-pious toward the
εὐεργέτην οἶκον, ἀλλ᾽ ἐξ ἀρχῆς μὲν σπουδασάντων, ἐπηρείᾳ
benefactor house but from beginning indeed having-been-eager by-insult
δὲ τοῦ προεστῶτος τὴν καίριον ἐπίδειξιν ἀφαιρεθέντων.
but of-the presiding-one the timely display having-been-deprived-of

104 ἐπὶ δὴ τούτοις ἤρξατο κονίεσθαι κατ᾽ αὐτοῦ ἡ
upon indeed these-things began to-dust-herself against him the
ὑπέρμαχος μὲν καὶ παραστάτις ἀδικουμένων τιμωρὸς δ᾽
champion indeed and defender of-the-wronged avenger but
ἀνοσίων καὶ ἔργων καὶ ἀνθρώπων δίκη. πρῶτον μὲν
of-unholy both deeds and men justice first indeed
γὰρ καινοτάτην ὑπέμεινεν ὕβριν καὶ συμφορὰν οὐδενὶ τῶν
for newest he-endured outrage and misfortune to-none of-the
πάλαι γενομένην ὑπάρχων, ἀφ᾽ οὗ τὴν ἡγεμονίαν ὁ
formerly having-been prefects from when the empire the
Σεβαστὸς οἶκος ἀνήψατο γῆς καὶ θαλάττης.
Augustan house fastened-on of-land and sea

ἔνιοι γὰρ καὶ ἐπὶ Τιβερίου καὶ ἐπὶ τοῦ πατρὸς 105
some for both under Tiberius and under the father
αὐτοῦ Καίσαρος τῶν διεπόντων τὰς ἐπικρατείας,
his Caesar of-those administering the provinces
τὴν ἐπιμέλειαν καὶ προστασίαν εἰς δυναστείαν καὶ
the care and protection into domination and
τυραννίδα μεθαρμοσάμενοι, τὰς χώρας ἐνέπλησαν κακῶν
tyranny having-changed the countries filled with-evils
ἀνηκέστων δωροδοκίαις, ἁρπαγαῖς, καταδίκαις, τῶν μηδὲν
incurable with-bribe-takings plunderings condemnations of-those nothing
ἡμαρτηκότων ἐλάσεσι καὶ φυγαῖς, τῶν δυνατῶν ἀκρίτοις
having-erred expulsions and exiles of-the powerful untried
ἀναιρέσεσιν· οὓς μετὰ τὸν ὁρισθέντα χρόνον τῆς ἀρχῆς
killings whom after the fixed time of-the office
ἐπανελθόντας εἰς Ῥώμην οἱ αὐτοκράτορες λόγον καὶ
having-returned to Rome the emperors account and
εὐθύνας τῶν πεπραγμένων ᾔτουν, καὶ μάλισθ' ὁπότε
audits of-the-things done demanded and most whenever
πρεσβεύσαιντο αἱ ἀδικηθεῖσαι πόλεις.
sent-embassies the wronged cities
τότε γὰρ κοινοὺς παρέχοντες ἑαυτοὺς δικαστάς, ἐξ ἴσου 106
then for common providing themselves judges from equal
καὶ τῶν κατηγόρων καὶ τῶν ἀπολογουμένων ἀκροώμενοι,
both the accusers and the defendants hearing
μηδενὸς ἀκρίτου προκαταγινώσκειν ἀξιοῦντες, ἐβράβευον
no-one untried to-condemn-beforehand deeming-fit they-decided
οὔτε πρὸς ἔχθραν οὔτε πρὸς χάριν, ἀλλὰ πρὸς τὴν φύσιν
neither for enmity nor for favor but for the nature
τῆς ἀληθείας τὰ δόξαντα εἶναι δίκαια.
of-the truth the-things seeming to-be just

107 Φλάκκῳ δ' οὐ μετὰ τὴν ἀρχὴν ἀλλ' ἐμπροθέσμως
Flaccus but not after the office but within-the-term
προϋπήντησεν ἡ μισοπόνηρος δίκη ταῖς ἀμέτροις
met-beforehand the wickedness-hating justice at-the immoderate
ὑπερβολαῖς ὧν ἠδίκει καὶ παρηνόμει δυσχεράνασα.
excesses of-what he-wronged and transgressed vexed
108 Γίνεται δ' ὁ τρόπος αὐτῷ τῆς συλλήψεως τοιόσδε.
happens and the manner to-him of-the arrest such
ὑπέλαβεν ἤδη τὸν Γάιον περὶ ὧν ὕποπτος ἦν
he-supposed already — Gaius about what suspect he-was
ἐξευμενίσθαι, τὰ μὲν ἐπιστολιμαίοις γράμμασιν, ἃ
to-have-been-propitiated partly indeed by-epistolary letters which
κολακείας ἦν ὑπέρμεστα, τὰ δὲ ἐν οἷς δημηγορῶν
of-flattery were full partly and in which haranguing
πολλάκις ἐθεράπευε λόγους θῶπας καὶ μακρὰς ῥήσεις
often he-courted words fawning and long speeches
πεπλασμένων ἐγκωμίων συνείρων, τὰ δὲ καὶ ἐκ τοῦ
of-fabricated encomia stringing-together partly and also from the
σφόδρα εὐδοκιμεῖν παρὰ τῷ πλείστῳ μέρει τῆς πόλεως.
very to-be-well-regarded with the greatest part of-the city
109 ἔλαθε δ' αὑτὸν ἀπατῶν· ἀβέβαιοι γὰρ αἱ τῶν
he-failed-to-notice and himself deceiving unstable for the of-the
πονηρῶν ἀνθρώπων ἐλπίδες, εἰκαζόντων μὲν τὰ
wicked men hopes guessing indeed the
χρηστότερα, τὰ δὲ παλίμφημα καὶ ὧν ἄξιοι τυγχάνειν
better-things the but ill-omened and what worthy to-obtain
εἰσὶ πασχόντων. πέμπεται μὲν γὰρ ἀπὸ τῆς Ἰταλίας
they-are suffering is-sent indeed for from — Italy
Βάσσος ἑκατοντάρχης ὑπὸ Γαΐου χειροτονηθεὶς μετὰ τῆς
Bassus centurion by Gaius appointed with the
τάξεως τῶν στρατιωτῶν, ἧς ἀφηγεῖτο.
company of-the soldiers which he-led

σκάφους δ' ἐπιβὰς τῶν μάλιστα ταχυναυτούντων 110
vessel and having-boarded of-the most fast-sailing
ὀλίγαις ἡμέραις πρὸς τοῖς λιμέσι γίνεται τῆς Ἀλεξανδρείας
in-few days at the harbors arrives — of-Alexandria
κατὰ τὴν Φάρον νῆσον περὶ δείλην ἑσπέραν καὶ κελεύει
by — Pharos island about late evening and orders
τῷ κυβερνήτῃ μέχρις ἡλίου καταδύσεως ἔξω θαλαττεύειν,
the pilot until of-sun setting outside to-keep-at-sea
τεχνάζων τὸ ἀνεπίφαντον ἕνεκα τοῦ μὴ προαισθόμενον
contriving the unseen-arrival for-the-sake of-the not having-perceived-beforehand
Φλάκκον καὶ βουλευσάμενόν τι νεώτερον ἄπρακτον
Flaccus and having-planned something new ineffective
αὐτῷ τὴν ὑπηρεσίαν ἐργάσασθαι.
for-him the service to-make
γενομένης δ' ἑσπέρας, ἡ μὲν ναῦς προσέσχεν, ὁ δὲ 111
having-come and evening the indeed ship put-in — and
Βάσσος μετὰ τῶν ἰδίων ἀποβὰς προῆει, μήτε γνωρίζων
Bassus with the own having-landed went-forward neither recognizing
τινὰ μήτε γνωριζόμενος ὑπό του, στρατιώτην δέ τινα
anyone nor recognized by anyone soldier and some
τῶν ἐν τοῖς τετραδίοις φυλάκων καθ' ὁδὸν εὑρὼν
of-those in the quaternions guards on road having-found
κελεύει δεικνύναι τὴν οἰκίαν τοῦ στρατάρχου· τούτῳ γὰρ
orders to-show the house of-the commander to-this-one for
ἐβούλετο τὸ ἀπόρρητον ἀνενεγκεῖν, ἵνα, κἂν δέῃ
he-wished the secret to-report so-that even-if there-be-need
πολυχειρίας, ἔχῃ τὸν συναγωνιούμενον.
of-many-hands he-may-have the(-one) going-to-help
πυθόμενος δ' αὐτὸν ἑστιᾶσθαι παρά τινι σὺν 112
having-learned and him to-be-feasting with someone together-with
Φλάκκῳ, μηδὲν τάχους ἀνιεὶς συνέτεινεν ἄχρι τῆς
Flaccus nothing of-speed slackening he-hastened as-far-as the

τοῦ κεκληκότος οἰκίας — Στεφανίων ἦν τῶν τοῦ
of-the having-invited house Stephanio he-was of-the —
Τιβερίου Καίσαρος ἀπελευθέρων, παρ' ᾧ κατήγοντο —
of-Tiberius Caesar freedmen with whom they-lodged
καὶ μικρὸν ἄποθεν ὑποστείλας ἐκπέμπει τινὰ τῶν ἰδίων
and little away having-withdrawn sends-out one of-the own
κατασκεψόμενον εἰς ἀκόλουθον ἀσκήσας, σόφισμα τοῦ
going-to-spy into attendant having-dressed trick of-the
μηδένα συναισθέσθαι. παρελθὼν δὲ εἰς τὸ συμπόσιον ὡς
no-one to-perceive having-gone-in and into the banquet as
ἑνός τινος τῶν παρατυγχανόντων οἰκέτης, ἅπαντα μετ'
of-one some of-those happening-to-be-present slave all-things with
ἀκριβείας περιαθρήσας, ἐπανελθὼν ἐμήνυσε τῷ Βάσσῳ.
exactness having-looked-round having-returned reported — to-Bassus
113 γνοὺς δὲ τὸ περὶ τὰς εἰσόδους ἀφύλακτον καὶ τὴν
having-learned and the about the entrances unguarded and the
περὶ τὸν Φλάκκον ὀλιγότητα — μόλις γὰρ δέκα ἢ
about — Flaccus fewness hardly for ten or
πεντεκαίδεκα τῶν διακονικῶν ἀνδραπόδων ἐπηκολουθήκει —
fifteen of-the serving slaves had-followed
σύνθημα δοὺς τοῖς περὶ αὐτὸν εἰσέδραμεν ἐξαίφνης,
signal having-given to-those about him ran-in suddenly
καὶ τῶν στρατιωτῶν οἱ μὲν παρὰ τὸ συμπόσιον
and of-the soldiers the(-ones) indeed at the banquet
ἐπιστάντες ὑπεζωσμένοι τὰ ξίφη κυκλοῦσιν αὐτὸν οὐ
having-stood-over girt-with the swords surround him not
προϊδόμενον· ἐτύγχανε γὰρ καὶ πρόποσίν τινι διδοὺς
foreseeing he-happened for also toast to-someone giving
καὶ φιλοφρονούμενος τοὺς παρόντας.
and treating-kindly those present

εἰς μέσον δὲ τοῦ Βάσσου παρελθόντος, ἰδὼν εὐθὺς 114
into middle and — Bassus having-come having-seen-him at-once
ὑπ᾽ ἐκπλήξεως ἀχανὴς γίνεται καὶ βουλόμενος ἀναστῆναι,
through amazement speechless becomes and wishing to-rise
τὴν ἐν κύκλῳ φρουρὰν θεασάμενος, ἔγνω καὶ πρὶν ἀκοῦσαι,
the in circle guard having-beheld he-knew even before to-hear
τί βούλεται Γάιος ἐπ᾽ αὐτῷ καὶ τί προστέτακται τοῖς
what wishes Gaius about him and what has-been-ordered to-those
ἥκουσι καὶ τί παραυτίκα μελλήσει ὑπομένειν· δεινὸς
having-come and what immediately he-will-be-going to-endure clever
γὰρ ὁ νοῦς τὰ κατὰ μέρος ἐν χρόνῳ μακρῷ γινόμενα
for the mind the-things in part in time long happening
πάνθ᾽ ἅμα ἰδεῖν καὶ πάντων ἀθρόων ἀκοῦσαι.
all at-once to-see and of-all together to-hear
τῶν μὲν οὖν συνδειπνούντων ἕκαστος ἀναστὰς ὑπὸ 115
of-the indeed then dining-with-him each having-risen through
δέους ἐπεφρίκει καὶ ἐπεπήγει, μή τις ὥρισται καὶ τοῦ
fear shuddered and froze lest any has-been-fixed also for-the
συνεστιαθῆναι δίκη· φεύγειν γὰρ οὔτ᾽ ἀσφαλὲς ἦν οὔτ᾽ ἄλλως
to-have-dined-with penalty to-flee for neither safe was nor otherwise
ἐνεδέχετο, προκατεχομένων τῶν εἰσόδων. ὁ δὲ ὑπὸ τῶν
was-possible occupied-beforehand the entrances he but by the
στρατιωτῶν τοῦ Βάσσου κελεύσαντος ἀπάγεται, τελευταίαν
soldiers — Bassus having-ordered is-led-away last
ταύτην ἀνάλυσιν ἐκ συμποσίου ποιησάμενος· ἔδει γὰρ
this departure from banquet having-made it-was-fitting for
ἀφ᾽ ἑστίας ἄρξασθαι τὴν δίκην κατὰ τοῦ μυρίους ἀνεστίους
from hearth to-begin the justice against the(-one) countless hearthless
οἴκους οὐδὲν ἠδικηκότων ἀνθρώπων ἐργασαμένου.
houses in-nothing of-having-done-wrong men having-made

116 Τοῦτο καινότατον ὑπέμεινε Φλάκκος ἐν χώρᾳ, ἧς
this newest-thing endured Flaccus in country which
ἀφηγεῖτο, πολεμίου τρόπον ζωγρηθεὶς ἕνεκά μοι δοκῶ
he-ruled enemy like taken-alive for-the-sake to-me I-think
τῶν Ἰουδαίων, οὓς ἄρδην ἀφανίσαι διεγνώκει λιμοδοξῶν.
of-the Jews whom utterly to-annihilate he-had-decided hungry-for-glory
ἐναργὴς δὲ πίστις καὶ ὁ χρόνος τῆς συλλήψεως· ἑορτὴ μὲν
clear and proof also the time of-the arrest feast indeed
γὰρ ἦν πάνδημος τοῖς Ἰουδαίοις κατὰ τὴν μετοπωρινὴν
for was nation-wide for-the Jews at the autumn
ἰσημερίαν, ἐν ᾗ διάγειν Ἰουδαίοις ἔθος ἐν σκηναῖς.
equinox in which to-pass-time for-Jews custom in booths
117 οὐδὲν δὲ τῶν ἐν ἑορτῇ συνόλως ἀπετελεῖτο, τῶν μὲν
nothing and of-the-things at feast at-all was-performed the indeed
ἀρχόντων ἔτι καθειργμένων μετὰ τὰς ἀνηκέστους καὶ
rulers still being-shut-up after the incurable and
ἀφορήτους αἰκίας καὶ ὕβρεις, τῶν δὲ ἰδιωτῶν τάς τε
unbearable outrages and insults the but private-men the both
ἐκείνων συμφορὰς ἅπαντος τοῦ ἔθνους κοινὰς νομιζόντων
their misfortunes of-all the nation common thinking
καὶ ἐπὶ ταῖς ἐξαιρέτοις, ἃς ἰδίᾳ ἕκαστος ὑπέμεινεν, οὐ
and at the exceptional which privately each endured not
μετρίως κατηφούντων.
moderately being-dejected
118 τὰ γὰρ ἀνιαρὰ διπλασιάζεσθαι φιλεῖ μάλιστα ἐν ἑορταῖς
the for painful-things to-be-doubled are-wont most at feasts
τοῖς μὴ δυναμένοις ἑορτάζειν, στερήσει τε ἱλαρᾶς
for-those not being-able to-keep-feast by-deprivation both of-cheerful
εὐθυμίας, ἣν πανήγυρις ἐπιζητεῖ, καὶ μετουσίᾳ λύπης,
gladness which festival seeks and by-sharing of-grief

ὑφ᾽ ἧς ἐξετραχηλίζοντο, μηδὲν ἄκος τῶν τοσούτων
by which they-were-thrown-headlong no remedy of-the so-many
κακοπραγιῶν ἀνευρεῖν δυνάμενοι.
misfortunes to-find being-able
σφόδρα δ᾽ ἔχουσιν ὀδυνηρῶς καὶ πεπιεσμένοις ἄχθει 119
very and to-(them)-being painfully and pressed by-burden
βαρυτάτῳ — συνείληντο δ᾽ ἐν ταῖς οἰκίαις, ἅτε νυκτὸς
heaviest were-crowded and in the houses as night
ἐπεχούσης — ἦκόν τινες ἀπαγγέλλοντες τὴν γενομένην
prevailing came some reporting the having-happened
σύλληψιν. οἱ δ᾽ ἀπόπειραν εἶναι νομίσαντες, οὐκ ἀλήθειαν,
arrest they and test to-be thinking not truth
ἔτι μᾶλλον ἐπὶ τῷ κατακερτομεῖσθαι καὶ ἐνεδρεύεσθαι
still more at the to-be-jeered and to-be-ensnared
δοκεῖν ὠδυνῶντο.
to-seem were-pained
θορύβου δ᾽ ὄντος κατὰ τὴν πόλιν καὶ τῶν νυκτοφυλάκων 120
of-uproar and being in the city and of-the night-watchmen
ἄνω κάτω διαθεόντων καί τινων ἱππέων εἰς τὸ στρατόπεδον
up down running-about and some of-horsemen into the camp
καὶ ἀπὸ τοῦ στρατοπέδου τάχει συντόνῳ μετὰ σπουδῆς
and from the camp with-speed intense with haste
ἀντεξελαυνόντων, τῷ τοῦ πράγματος ἀήθει
riding-out-in-turn by-the of-the thing unaccustomedness
κινηθέντες τινὲς προῆλθον ἐκ τῶν οἰκιῶν κατὰ πύστιν
moved some came-out from the houses for inquiry
τοῦ συμβεβηκότος· ἐφαίνετο γὰρ εἶναί τι νεώτερον.
of-the having-happened it-appeared for to-be something new
ὡς δ᾽ ᾔσθοντο τὴν ἀπαγωγὴν καὶ τὸν Φλάκκον ἐντὸς 121
when but they-perceived the leading-away and — Flaccus within
ἀρκύων ἤδη γεγενημένον, προτείνοντες τὰς χεῖρας εἰς
nets already having-come holding-out the hands to

οὐρανὸν ὕμνουν καὶ παιᾶνας ἐξῆρχον εἰς τὸν ἔφορον
heaven they-hymned and paeans began to the overseer
θεὸν τῶν ἀνθρωπίνων πραγμάτων, "οὐκ ἐφηδόμεθα",
god of-the human affairs not we-rejoice
λέγοντες "ὦ δέσποτα, τιμωρίαις ἐχθροῦ, δεδιδαγμένοι
saying O master at-punishments of-enemy having-been-taught
πρὸς τῶν ἱερῶν νόμων ἀνθρωποπαθεῖν· ἀλλὰ σοὶ δικαίως
by the sacred laws to-feel-humanly but to-you justly
εὐχαριστοῦμεν οἶκτον καὶ ἔλεον ἡμῶν λαβόντι καὶ τὰς
we-give-thanks pity and mercy on-us having-taken and the
συνεχεῖς καὶ ἐπαλλήλους κακώσεις ἐπικουφίσαντι."
continual and successive ills having-lightened

VII · THE ACCUSERS ISIDORUS AND LAMPO

The Jews spend the night in hymns and at dawn gather on the shore, their prayer-houses having been taken, to thank God, praying for further deliverance. Flaccus sails in winter, suffering the terrors of the sea, and on reaching Italy finds his chief enemies, Isidorus and Lampo, ready as his accusers, and the master of human affairs, who will only play the judge, has already condemned him. Lampo had been tried for impiety against Tiberius and dragged through two years of delays, and as clerk to the governors had falsified the court records for bribes; Isidorus is a demagogue who leads the city's drinking-clubs and once paid a hired mob in the gymnasium to accuse Flaccus, until some of them, arrested, confessed the bribe, and the whole city gathered to hear his paymasters exposed.

122 πάννυχοι δὲ διατελέσαντες ἐν ὕμνοις καὶ ᾠδαῖς καὶ
all-night and having-continued in hymns and songs and
ἅμα τῇ ἕῳ διὰ πυλῶν ἐκχυθέντες ἐπὶ τοὺς
at-once with-the dawn through gates having-poured-out to the
πλησίον αἰγιαλοὺς ἀφικνοῦνται — τὰς γὰρ προσευχὰς
near beaches they-arrive the for prayer-houses

ἀφῄρηντο — κἀν τῷ καθαρωτάτῳ στάντες ἀνεβόησαν
they-had-been-deprived-of and-in the purest-place having-stood they-cried-out
ὁμοθυμαδόν·
with-one-accord
"γῆν καὶ θάλατταν, ἀέρα τε καὶ οὐρανόν, τὰ μέρη τοῦ 123
land and sea air both and heaven the parts of-the
παντὸς καὶ σύμπαντα τὸν κόσμον, ὦ μέγιστε βασιλεῦ
universe and whole the cosmos O greatest king
θνητῶν καὶ ἀθανάτων, παρακαλέσοντες εἰς εὐχαριστίαν
of-mortals and immortals going-to-call-to for thanksgiving
τὴν σὴν ἥκομεν, οἷς μόνοις ἐνδιαιτώμεθα, τῶν ἄλλων
the your we-have-come in-which alone we-dwell of-the others
ὅσα δημιουργεῖται πρὸς ἀνθρώπων ἐληλαμένοι
as-many-as are-made by men having-been-driven-out
καὶ στερόμενοι πόλεως καὶ τῶν ἐν πόλει δημοσίων καὶ
and deprived of-city and of-the in city public and
ἰδιωτικῶν περιβόλων, ἀπόλιδες καὶ ἀνέστιοι μόνοι τῶν
private enclosures cityless and hearthless alone of-those
ὑφ' ἥλιον ἐξ ἐπιβουλῆς ἄρχοντος γενόμενοι.
under sun through plot of-ruler having-become
χρηστὰς ὑπογράφεις ἡμῖν ἐλπίδας καὶ περὶ τῆς τῶν 124
good you-sketch for-us hopes also about the of-the
λειπομένων ἐπανορθώσεως, ἤδη ταῖς ἡμετέραις λιταῖς
remaining-things correction already to-the our prayers
ἀρξάμενος συνεπινεύειν, εἴ γε τὸν κοινὸν ἐχθρὸν τοῦ
having-begun to-nod-assent if at-least the common enemy of-the
ἔθνους καὶ τῶν ἐπ' αὐτῷ συμφορῶν ὑφηγητὴν καὶ
nation and of-the upon it misfortunes guide and
διδάσκαλον μέγα πνέοντα καὶ οἰηθέντα διὰ ταῦτα
teacher great breathing and having-thought because-of these-things
εὐδοκιμήσειν ἐξαίφνης καθεῖλες, οὐ πορρωτάτω
to-be-going-to-be-esteemed suddenly you-brought-down not farthest-off

γενόμενον, ἵν' αἰσθόμενοι δι' ἀκοῆς οἱ κακῶς
having-become so-that perceiving through hearsay those badly
πεπονθότες ἀμβλύτερον ἡσθῶσιν, ἀλλ' ἐγγὺς οὑτωσί, μόνον
having-suffered more-dully may-rejoice but near thus only
οὐκ ἐν ὄψει τῶν ἠδικημένων, πρὸς τρανοτέραν φαντασίαν
not in sight of-the wronged for clearer appearance
τῆς ἐν βραχεῖ καὶ παρ' ἐλπίδας ἐπεξόδου."
of-the in short and beyond hopes visitation

125 Τρίτον δ' ἔτι πρὸς τοῖς εἰρημένοις κἀκεῖνό μοι δοκεῖ θείᾳ
third and still besides the said that-too to-me seems by-divine
προνοίᾳ συμβῆναι. ἐπειδὴ γὰρ ἀναχθεὶς ἀρχομένου
providence to-have-happened when for having-put-to-sea beginning
χειμῶνος — ἔδει γὰρ αὐτὸν καὶ τῶν ἐν θαλάττῃ
winter it-was-fitting for him also of-the at sea
φοβερῶν ἀπολαῦσαι τὰ στοιχεῖα τοῦ παντὸς ἀσεβημάτων
terrors to-enjoy the elements of-the universe with-impieties
ἀναπλήσαντα — μυρία πονηθεὶς μόλις ἦλθεν εἰς
having-filled countless-things having-toiled hardly he-came to
Ἰταλίαν, εὐθὺς ἐκδέχονται τὰς ἐπ' αὐτῷ κατηγορίας δύο
Italy at-once take-up the against him accusations two
τῶν ἐχθίστων, Ἰσίδωρός τε καὶ Λάμπων,
of-the bitterest-enemies Isidorus both and Lampo

126 οἳ πρὸ μικροῦ μὲν τάξιν εἶχον ὑπηκόων δεσπότην καὶ
who before little indeed rank had of-subjects master and
εὐεργέτην καὶ σωτῆρα καὶ τὰ τοιαῦτα ἀνακαλοῦντες, νυνὶ
benefactor and savior and the such-things calling-him now
δ' ἀντιδίκων οὐκ ἰσόρροπον ἀλλὰ δυνατωτέραν ἰσχὺν ἐκ
but of-opponents not equal but more-powerful strength from
πολλοῦ τοῦ περιόντος ἐπιδεικνυμένων, οὐ μόνον ἕνεκα
much the surplus displaying not only for-the-sake
τοῦ θαρρεῖν τοῖς δικαίοις, ἀλλ', ὃ δὴ μέγιστον
of-the to-be-confident in-the justice but what indeed greatest

ἦν, ὅτι τὸν πρύτανιν τῶν ἀνθρωπίνων πραγμάτων
was that the president of-the human affairs
ἐχθρὸν ἑώρων ἄσπονδον αὐτῷ, μέλλοντα σχῆμα μὲν
enemy they-saw implacable to-him going figure indeed
ὑποδύεσθαι δικαστοῦ, προνοίᾳ τοῦ μὴ δοκεῖν ἀκρίτου τινὸς
to-assume of-judge by-forethought of-the not to-seem untried anyone
προκαταγινώσκειν, ἔργον δ' ἐπιδείκνυσθαι δυσμενοῦς, πρὸ
to-condemn-beforehand deed but to-display of-hostile-one before
κατηγορίας καὶ ἀπολογίας ἤδη τῇ ψυχῇ κατεγνωκότος
accusation and defense already in-the soul having-condemned
καὶ τὰς ἀνωτάτω τιμωρίας ὡρικότος ἐπ' αὐτῷ.
and the highest punishments having-fixed for him
χαλεπὸν δ' οὐδὲν οὕτως, ὡς ὑπ' ἐλαττόνων κρείττους καὶ 127
hard but nothing so as by inferiors the-stronger and
πρὸς ὑπηκόων ἄρχοντάς ποτε γενομένους κατηγορεῖσθαι,
by subjects rulers ever having-been to-be-accused
ὥσπερ ἂν εἰ καὶ δεσπότας ὑπ' οἰκοτρίβων ἢ ἀργυρωνήτων.
as — if even masters by house-born-slaves or bought
Ἀλλ' ἦν, ὡς ἔοικε, τοῦτο κουφότερον κακὸν συγκρινόμενον 128
but it-was as it-seems this lighter evil compared
ἑτέρῳ μείζονι. οὐ γὰρ ἁπλῆν τινα τάξιν ἔχοντες ὑπηκόων
with-another greater not for simple some rank having of-subjects
αἰφνίδιον ἐπέθεντο ταῖς κατηγορίαις ἐπαποδυσάμενοι καὶ
suddenly they-attacked in-the accusations having-stripped-for-it and
συμφρονήσαντες, ἀλλὰ καὶ τὸν πλεῖστον χρόνον τῆς
having-conspired but also the most time of-the
ἐπιτροπῆς ἣν ἐπετρόπευσε τῆς χώρας ἐκ πάντων οὗτοι
governorship which he-governed of-the country of all these
μάλιστ' αὐτῷ δι' ἀπεχθείας ἐγεγένηντο· Λάμπων μὲν
most to-him in hatred had-been Lampo indeed

ἀσεβείας τῆς εἰς Τιβέριον Καίσαρα δίκην σχὼν καὶ
of-impiety the toward Tiberius Caesar trial having-had and
ἐπὶ διετίαν τριβομένου τοῦ πράγματος ἀπειρηκώς.
for two-years being-dragged-out the matter having-given-up
129 ὑπερθέσεις γὰρ καὶ ἀναβολὰς ὁ δικαστὴς ἐθελοκακῶν
postponements for and delays the judge playing-false-willfully
ἐσκήπτετο βουλόμενος, κἂν ἀποφύγῃ τὸ ἔγκλημα, τὸν γοῦν
alleged wishing even-if he-escape the charge the at-least
περὶ τοῦ μέλλοντος ἀδήλου φόβον πρὸς μήκιστον χρόνον
about the future uncertain fear for longest time
ἐπικρεμάσας αὐτῷ ζωὴν ὀδυνηροτέραν θανάτου παρασχεῖν.
having-hung-over him life more-painful than-death to-provide
130 εἶθ' ὕστερον καὶ ὅτε νικᾶν ἔδοξεν, εἰς τὴν οὐσίαν
then later even when to-win he-seemed in the estate
ἐπηρεασθῆναι ἔφασκεν — ἠναγκάσθη γὰρ γυμνασιαρχεῖν—,
to-have-been-abused he-said he-was-compelled for to-be-gymnasiarch
ἤτοι τῷ γλίσχρος καὶ ἀνελεύθερος εἶναι περὶ τὰς δαπάνας,
either by-the stingy and illiberal to-be about the expenses
προφασιζόμενος τὸ μὴ κεκτῆσθαι πρὸς τοσαύτην ἀφθονίαν
pretending the not to-have-acquired for so-great abundance
ἀναλωμάτων ἱκανὴν οὐσίαν, ἢ τῷ ὄντι μὴ κεκτημένος,
of-expenditures sufficient estate or in-the being not having-acquired
ἀλλὰ πρὶν μὲν εἰς ἀπόπειραν ἐλθεῖν ἐπιφάσκων τὸν
but before indeed to trial to-come professing-to-be the
πάνυ πλούσιον, ἐν δὲ τῇ δοκιμασίᾳ μὴ φανεὶς ἄγαν
very rich-man in but the scrutiny not having-appeared very
πολυχρήματος ἄνθρωπος, ὅσα ἐκτήσατο σχεδὸν ἅπαντα
wealthy man as-much-as he-acquired nearly all
ἐξ ἀδικημάτων περιποιησάμενος·
from wrongs having-gained

προσεστὼς γὰρ τοῖς ἡγεμόσιν, ὁπότε δικάζοιεν, 131
standing-by for the governors whenever they-judged
ὑπεμνηματίζετο τὰς δίκας εἰσάγων ὡς ἔχων τάξιν, εἶτα
he-recorded the cases introducing as having rank then
τὰ μὲν ἀπήλειφεν ἢ παρήει ἑκών, τὰ δ' οὐ
the(-things) indeed he-erased or passed-over willingly the(-things) but not
λεχθέντα προσενέταττεν, ἔστι δ' ὅτε καὶ ὑπηλλάττετο
said he-inserted it-is and when also he-substituted
μεταποιῶν καὶ μετατιθεὶς καὶ στρέφων ἄνω κάτω τὰ
altering and transposing and turning up down the
γράμματα, κατὰ συλλαβήν, μᾶλλον δὲ καὶ κεραίαν
writings by syllable rather and also stroke
ἑκάστην ἀργυρολογῶν ὁ γραμματοκύφων·
each making-money the scribe-hunchback
ὃν πολλάκις ὁ δῆμος ἅπας ὁμοθυμαδὸν εὐθυβόλως καὶ 132
whom often the people all with-one-accord aptly and
εὐσκόπως καλαμοσφάκτην ἐξεκήρυξεν, οἷς ἔγραφε μυρίους
well-aimed pen-murderer proclaimed by-what he-wrote countless
ἀνελόντα καὶ ζῶντας ἀθλιωτέρους τῶν ἀποθανόντων
having-killed and living more-wretched than-the dead
ἀπεργασάμενον, οἳ δυνάμενοι νικᾶν καὶ περιουσιάζειν
having-made who being-able to-win and to-be-wealthy
ἧττων καὶ πενίαν ἀδικωτάτην ὑπέμειναν, ὠνησαμένων
defeat and poverty most-unjust endured having-bought
ἀμφότερα τῶν ἐχθρῶν παρὰ τοῦ τὰς ἀλλοτρίας οὐσίας
both the enemies from the(-one) the others' estates
ἐπευωνίζοντος καὶ πιπράσκοντος.
cheapening and selling
ἀμήχανον μὲν γὰρ ἦν τοὺς ἡγεμόνας τοσαύτης χώρας 133
impossible indeed for it-was the governors so-great country
ἐπιτροπεύοντας, ἀεὶ καινοτέρων ἐπεισρεόντων ἰδιωτικῶν
administering always newer flowing-in private

τε καὶ δημοσίων πραγμάτων, ἁπάντων μεμνῆσθαι, καὶ
both and public affairs all to-remember and
ταῦτα οὐ δικάζοντας μόνον, ἀλλὰ καὶ λογισμοὺς τῶν
these not judging only but also accounts of-the
προσόδων καὶ δασμῶν λαμβάνοντας, ὧν ἡ ἐξέτασις
revenues and tributes receiving of-which the examination
τὸν πλείονα τοῦ ἐνιαυτοῦ χρόνον ἀνήλισκεν.
the greater of-the year time used-up

134 ὁ δὲ φυλάττειν ἐπιτραπεὶς τὴν ἀναγκαιοτάτην
he but to-guard entrusted the most-necessary
παρακαταθήκην, τὰ δίκαια καὶ τὰς ἐπ᾽ αὐτοῖς ὁσιωτάτας
deposit the just-things and the upon them most-holy
γνώμας, ἐνεπορεύετο τὴν λήθην τῶν δικαστῶν, τοὺς
judgments trafficked-in the forgetfulness of-the judges those
μὲν νικᾶν ὀφείλοντας γράφων ἐν ἡττημένοις, τοὺς δ᾽
indeed to-win owing writing among defeated those and
ἡττᾶσθαι μετὰ τὸν ἐπάρατον μισθὸν ἢ κυριώτερον εἰπεῖν
to-be-defeated after the accursed wage or more-properly to-say
τὸ μίσθωμα ἐν νενικηκόσιν.
the hire among victors

135 Ὁ μὲν δὴ Λάμπων τοιοῦτος ὢν ἐφειστήκει κατήγορος,
— indeed indeed Lampo such being stood-forth accuser
ὁ δ᾽ Ἰσίδωρος οὐκ ἀποδέων τὴν μοχθηρίαν, ἄνθρωπος
— but Isidorus not falling-short in-the wickedness man
ὀχλικός, δημοκόπος, ταράττειν καὶ συγχέειν πράγματα
of-the-mob demagogue to-disturb and to-confound affairs
μεμελετηκώς, ἐχθρὸς εἰρήνῃ καὶ εὐσταθείᾳ, στάσεις καὶ
practiced enemy to-peace and stability factions and
θορύβους κατασκευάσαι μὲν οὐκ ὄντας, γενομένους δὲ
tumults to-contrive indeed not being having-happened but
συγκροτῆσαι καὶ συναυξῆσαι δεινός, ὄχλον ἀσύντακτον
to-whip-up and to-increase clever crowd disorderly

καὶ πεφορημένον ἐκ μιγάδων καὶ συγκλύδων ἡρμοσμένον
and jumbled from mixed and refuse fitted-together
περὶ αὑτὸν ἔχειν ἐσπουδακώς, ὃς εἰς μοίρας καθάπερ
about himself to-have having-been-eager which into parts like
τινὰς συμμορίας διανενέμηται.
some companies has-been-divided
θίασοι κατὰ τὴν πόλιν εἰσὶ πολυάνθρωποι, ὧν κατάρχει 136
clubs in the city are populous of-which begins
τῆς κοινωνίας οὐδὲν ὑγιές, ἀλλ᾽ ἄκρατος καὶ μέθη
the fellowship nothing sound but unmixed-wine and drunkenness
καὶ παροινίαι καὶ ἡ τούτων ἔκγονος ὕβρις· σύνοδοι καὶ
and drunken-violences and the of-these offspring insolence synods and
κλῖναι προσονομάζονται ὑπὸ τῶν ἐγχωρίων.
couches they-are-named by the natives
ἐν ἅπασι τοῖς θιάσοις ἢ τοῖς πλείστοις ὁ Ἰσίδωρος 137
in all the clubs or the most — Isidorus
τὰ πρωτεῖα φέρεται καὶ λέγεται ὁ συμποσίαρχος, ὁ
the first-prizes carries and is-called the symposiarch the
κλινάρχης, ὁ ταραξίπολις. εἶτα ὅταν τι βουληθῇ
couch-master the city-disturber then when anything he-wishes
διαπράξασθαι τῶν ἀλυσιτελῶν, ἀφ᾽ ἑνὸς συνθήματος
to-accomplish of-the unprofitable-things from one signal
ἀθρόως συνέρχονται καὶ τὸ κελευσθὲν λέγουσι καὶ
in-throngs they-come-together and the(-thing) bidden say and
δρῶσι. καί ποτε τῷ Φλάκκῳ δυσχεράνας,
do and once — with-Flaccus being-vexed
ὅτι δόξας παρ᾽ αὐτῷ τις εἶναι κατ᾽ ἀρχὰς οὐκέθ᾽ 138
because seeming with him someone to-be at beginnings no-longer
ὁμοίως αὖθις ἐσπουδάζετο, μισθοδοτήσας τοὺς ἀλειφοβίους
alike later was-courted having-paid those living-by-the-oil
καὶ φωνασκεῖν εἰωθότας, οἳ τὰς καταβοήσεις ὥσπερ ἐπ᾽
and to-shout accustomed who the outcries as at

ἀγορᾶς πιπράσκουσι τοῖς ἔχουσιν ὠνητικῶς, παρακελεύει
market sell to-those being-disposed to-buy bids
συνελθεῖν εἰς τὸ γυμνάσιον.
to-come-together into the gymnasium
139 οἱ δὲ πληρώσαντες αὐτὸ τοῦ Φλάκκου ἀπ᾽ οὐδεμιᾶς
they and having-filled it — Flaccus from no
προφάσεως κατηγόρουν, ἀγένητα πλάττοντες
pretext accused not-having-happened fabricating
ἐγκλήματα καὶ ψευδεῖς ῥήσεις δι᾽ ἀναπαίστων καὶ μακρὰς
charges and false speeches in anapaests also long
συνείροντες, ὡς καταπεπλῆχθαι μὴ μόνον Φλάκκον
stringing-together so-that to-have-been-amazed not only Flaccus
ἀλλὰ καὶ τοὺς ἄλλους ἐπὶ τῷ παραλόγῳ καί, ὅπερ ἦν,
but also the others at the absurdity and which was
συμβαλεῖν, ὅτι πάντως ἐστί τις ᾧ χαρίζονται, μήτ᾽
to-infer that certainly is someone to-whom they-do-favors neither
αὐτοί τι πεπονθότες ἀνήκεστον μήτε τὴν ἄλλην πόλιν
themselves anything having-suffered incurable nor the other city
εὖ εἰδότες πλημμεληθεῖσαν.
well knowing wronged
140 ἔπειτα βουλευομένοις ἔδοξε συλλαβεῖν τινας καὶ τὴν
then to-them-deliberating it-seemed-good to-arrest some and the
αἰτίαν τῆς ἀκρίτου καὶ αἰφνιδίου μανίας καὶ λύττης
cause of-the senseless and sudden madness and rage
πυνθάνεσθαι. οἱ δὲ συλληφθέντες ἄνευ βασάνων ὁμολογοῦσι
to-learn they and arrested without tortures confess
τἀληθές, ἅμα καὶ τὰς διὰ τῶν ἔργων πίστεις ἐφαρμόζοντες,
the-truth at-once also the through the deeds proofs fitting
τὸν διομολογηθέντα μισθόν, τὸν ἤδη δεδομένον, τὸν
the agreed wage the already given the
καθ᾽ ὑποσχέσεις ὕστερον δοθησόμενον, τοὺς ἐπὶ τὴν
according-to promises later going-to-be-given those for the

διανομὴν αἱρεθέντας ὡς ἂν ἡγεμόνας τῆς στάσεως, τὸν
distribution chosen as — leaders of-the faction the
τόπον, τὸν καιρόν, ἐν ᾧ γέγονεν ἡ δωροδοκία.
place the time in which happened the bribery
πάντων δ', ὡς εἰκός, ἀγανακτούντων καὶ τῆς πόλεως 141
all and as likely being-indignant and the city
χαλεπῶς φερούσης ἐπὶ τῷ τὴν ἐνίων ἀγνωμοσύνην
hard taking-it at the the of-some ungratefulness
προσαναμάττεσθαι τοὔνομ' αὐτῆς, ἔδοξε τὸ καθαρώτατον
to-be-stamped-on the-name its it-seemed-good the purest
τοῦ δήμου μεταπεμψαμένῳ τῇ ὑστεραίᾳ παραγαγεῖν τοὺς
of-the people to-him-having-summoned on-the next-day to-bring-forward those
τὸν μισθὸν ἐπινείμαντας, ἵνα καὶ τὸν Ἰσίδωρον ἀπελέγξῃ
the wage having-distributed so-that both — Isidorus he-might-refute
καὶ ἀπολογήσηται περὶ τῆς αὑτοῦ πολιτείας ὡς ἀδίκως
and defend-himself about the his-own administration as unjustly
διαβληθείς. αἰσθόμενοι δὲ τῆς παραγγελίας οὐχ οἱ ἐν
slandered having-perceived and the summons not those in
τέλει μόνον ἦκον, ἀλλὰ καὶ ἡ σύμπασα πόλις, ἔξω τοῦ
office only came but also the whole city except the
μέλλοντος ἀπελέγχεσθαι μέρους ἐπὶ τῷ μεμισθοδοτῆσθαι.
going to-be-refuted part on the to-have-been-paid

The hired men publicly convict Isidorus, who flees; then Flaccus is condemned, and his whole estate, rich in furnishings and slaves, is confiscated to the emperor. He is sentenced to exile on Gyara, the bleakest island of the Aegean, but Lepidus has it changed to Andros. He travels again the road to Brundisium he took as a new governor, a spectacle in every city, crosses the Isthmus, and after storms reaches Andros by way of the islands. Seeing it from afar, he weeps and laments his fall from Rome and the friendship of Tiberius to such an island, and once ashore, alone, he raves like a madman, crying out that he is Flaccus, once governor of Egypt, whose former good fortune now seems a dream.

142 καὶ οἱ μὲν ὑπηρετήσαντες τὴν καλὴν ταύτην ὑπηρεσίαν
and those indeed having-served the fine this service
ἀναβιβασθέντες, ἵνα μετέωροι καὶ ἐμφανεῖς εἶεν
having-been-made-to-mount so-that raised and visible they-might-be
καὶ γνωρίζοιντο πρὸς ἁπάντων, ἤλεγχον τὸν Ἰσίδωρον
and be-recognized by all convicted — Isidorus
ὡς αἴτιον τῶν θορύβων καὶ τῶν βλασφημιῶν τῶν εἰς
as cause of-the tumults and of-the blasphemies of-the against
Φλάκκον γενομένων, οὐκ ὀλίγῳ πλήθει παρασχόντα καὶ
Flaccus having-happened to-not small multitude having-provided both
ἀργύριον καὶ οἶνον δι' αὐτόν.
money and wine because-of him

143 "ἐπεὶ πόθεν" ἔφασκον "ἡμῖν ἀφθονία τοσαύτη; πένητές
since whence they-said to-us abundance so-great poor
ἐσμεν καὶ μόλις τοὐφήμερον εἰς αὐτὰ τὰ ἀναγκαῖα
we-are and hardly the-day's-need for the-very the necessities
πορίζειν δυνάμεθα. τί δὲ καὶ δεινὸν ἐπεπόνθειμεν ὑπὸ
to-provide we-can what and also terrible had-we-suffered by
τοῦ ἡγεμόνος, ὡς βιασθῆναι μνησικακεῖν; ἀλλ' ὁ πάντων
the governor so-as to-be-forced to-bear-grudges but the of-all

αἴτιος καὶ δημιουργὸς ἐκεῖνος, ἀεὶ τοῖς εὖ πράττουσι
cause and craftsman that-one always to-those well faring
βασκαίνων καὶ εὐνόμῳ καταστάσει πολέμιος."
envying and to-well-ordered condition hostile
ἃ γνωρίζοντες οἱ παρατυγχάνοντες — τύποι γάρ τινες 144
which recognizing those present marks for some
ἦσαν ἀρίδηλοι καὶ χαρακτῆρες τὰ λεγόμενα τῆς τοῦ
were very-clear and stamps the-things said of-the of-the
κατηγορουμένου προαιρέσεως — ἀνεβόων, οἱ μὲν
accused choice cried-out the(-ones) indeed
ἀτιμοῦν, οἱ δὲ φυγαδεύειν, οἱ δ' αἴρειν· πλείους
to-disfranchise the(-others) and to-banish the(-others) and to-kill-off more
δ' ἦσαν οὗτοι· πρὸς οὓς καὶ οἱ ἄλλοι μετεβάλλοντο, ὡς
and were these to whom also the others changed so-that
ἅπαντας ὁμοθυμαδὸν μιᾷ φωνῇ κεκραγέναι, κτείνειν τὸν
all with-one-accord with-one voice to-have-shouted to-kill the
κοινὸν λυμεῶνα, τὸν ἀφ' οὗ παρῆλθε καὶ διέκυψεν
common destroyer the(-one) from when he-came-forward and peered
ἐπὶ τὰ κοινά, μηδὲν μέρος τῆς πόλεως ἄνοσον ἐάσαντα.
into the public-affairs no part of-the city unsick having-left
καὶ ὁ μὲν ἕνεκα τοῦ συνειδότος ἀπεδίδρασκε σύλληψιν 145
and he indeed for-the-sake-of the guilty-conscience ran-away arrest
εὐλαβηθείς· ὁ δὲ Φλάκκος οὐδὲν ἐπ' αὐτῷ περιειργάζετο,
having-feared — and Flaccus nothing about him busied-himself
νομίσας ἐκποδὼν ἑκουσίῳ γνώμῃ γεγονότος ἀστασίαστα
having-thought out-of-the-way by-willing judgment having-gone free-of-faction
καὶ ἀνερίθευτα τὰ κατὰ τὴν πόλιν ἔσεσθαι.
and free-of-intrigue the-things in the city to-be-going-to-be
Ταῦτ' ἐμήκυνα, οὐχ ὑπὲρ τοῦ παλαιῶν ἀπομνημονεύειν 146
these-things I-have-lengthened not for the old to-recall
ἀδικημάτων, ἀλλὰ τεθαυμακὼς τὴν ἔφορον τῶν ἀνθρωπείων
wrongs but having-marveled-at the overseeing of-the human-things

δίκην, ὅτι οἱ ἐξ ἀρχῆς γενόμενοι δυσμενεῖς αὐτῷ καὶ
justice that those from beginning having-been hostile to-him and
οἷς ἐκ πάντων ἀπηχθάνετο καὶ ἐκληρώσαντο τὴν ἐπ᾽
with-whom of all he-was-hated also obtained-by-lot the against
αὐτῷ κατηγορίαν εἰς ἀνίας ὑπερβολήν· οὐ γὰρ οὕτως ἐστὶ
him accusation for of-grief excess not for so is
δεινὸν τὸ ἐγκαλεῖσθαι ὡς τὸ πρὸς ὁμολογουμένων ἐχθρῶν.
terrible the to-be-accused as the by acknowledged enemies
147 ὁ δ᾽ οὐ κατηγορήθη μόνον, ἄρχων πρὸς ὑπηκόων καὶ ὑπὸ
he but not was-accused only ruler by subjects and by
δυσμενῶν ἀεὶ γενομένων ὁ πρὸ μικροῦ κύριος ὢν τῆς
hostile always having-been the(-one) before little lord being of-the
ἑκατέρου ζωῆς, ἀλλὰ καὶ ἀνὰ κράτος ἡλίσκετο, διπλοῦν
of-each life but also at full-strength was-convicted double
ἐκδεχόμενος κακόν, τὸ μεθ᾽ ἥττης γελᾶσθαι πρὸς ἐχθρῶν
receiving evil the with defeat to-be-laughed-at by enemies
ἐφηδομένων, ὃ καὶ θανάτου χεῖρόν ἐστι τοῖς εὖ φρονοῦσιν.
rejoicing which even than-death worse is for-those well thinking
148 εἶτά τις εὐφορία γίνεται κακοπραγιῶν αὐτῷ· τῆς τε γὰρ
then some fertility becomes of-misfortunes for-him of-the both for
οὐσίας ἁπάσης εὐθὺς ἐξίσταται, ἥν τε παρὰ γονέων
estate whole at-once he-is-stripped which both from parents
ἐκληρονόμησε καὶ ἣν αὐτὸς ἐκτήσατο, φιλόκοσμος ἐν
he-inherited and which himself acquired fond-of-finery among
τοῖς μάλιστα γεγονώς. οὐ γὰρ ὡς ἐνίων πολυχρημάτων
the most having-been not for as of-some wealthy-men
ὁ πλοῦτος ἀργὸς ἦν ὕλη, πάντα δ᾽ ἐξητασμένα πρὸς τὸ
the wealth idle was material all-things but examined for the
περίεργον, ἐκπώματα, ἐσθῆτες, στρωμναί, ἔπιπλα, τἄλλα
elaborate drinking-cups garments bedding furniture the-rest
ὅσα οἰκίας κόσμος, ἔκλογα πάντα·
as-many-as of-house adornment choice all-things

καὶ πρὸς τούτοις ἡ οἰκετικὴ θεραπεία, ἀριστίνδην 149
and besides these the household staff by-merit
ἐπικριθεῖσα κατά τε τὰς τῶν σωμάτων εὐμορφίας ὁμοῦ
picked by both the of-the bodies comeliness at-once
καὶ εὐεξίας καὶ κατὰ τὸ ἄπταιστον ἐν τῷ χρειώδει
and good-condition and by the unfailing in the usefulness
τῶν ὑπηρεσιῶν· ἐφ' ὧν γὰρ ἦσαν ἕκαστοι τεταγμένοι,
of-the services in which for were each appointed
διέφερον, ὡς ἢ πρῶτοι νομίζεσθαι τῶν τὰ αὐτὰ
they-excelled so-that either first to-be-thought of-those the same
ἐπιτηδευόντων ἢ μηδενὸς δεύτεροι τὸ παράπαν.
pursuing or to-none second the altogether
ἐναργὴς δὲ πίστις τὸ μυρίων δημοπράτων γενομένων 150
clear and proof the countless sold-publicly having-been
οὐσιῶν, αἳ τῶν κατακρίτων ἦσαν, μόνην τὴν τοῦ
estates which of-the condemned were alone the —
Φλάκκου ταμιευθῆναι τῷ αὐτοκράτορι, δίχα τινῶν
of-Flaccus to-have-been-reserved for-the emperor apart-from some
ὀλίγων, ὑπὲρ τοῦ μὴ παραβιβασθῆναι τὸν ἐπὶ τοῖς οὕτως
few for the not to-be-transgressed the for those so
ἑαλωκόσι τεθέντα νόμον.
convicted laid-down law
μετὰ δὲ τὴν ἀφαίρεσιν τῆς οὐσίας κατέγνωστο αὐτοῦ 151
after and the removal of-the estate had-been-decreed his
φυγή, καὶ ἐξ ἁπάσης μὲν ἠλαύνετο τῆς ἠπείρου — τὸ
exile and from all indeed he-was-driven the mainland the
δ' ἐστὶ μεῖζον καὶ ἄμεινον τμῆμα τῆς οἰκουμένης—, ἐξ
and is greater and better portion of-the inhabited-world from
ἁπάσης δὲ νήσου τῶν εὐδαιμόνων. ἐμέλλησε γὰρ εἰς
all and island of-the prosperous was-going for into
τὴν λυπροτάτην τῶν ἐν Αἰγαίῳ — Γύαρα καλεῖται —
the most-wretched of-those in Aegean Gyara it-is-called

διώκεσθαι, μὴ παρακλήτῳ χρησάμενος Λεπίδῳ, δι' ὃν
to-be-sent not as-advocate having-had Lepidus through whom
ἀνθυπηλλάξατο Γυάρων Ἄνδρον ἐγγυτάτω κειμένην.
he-got-in-exchange-for Gyara Andros nearest lying
152 εἶτ' ἐστέλλετο τὴν ἀπὸ Ῥώμης ἄχρι Βρεντεσίου πάλιν
then he-traveled the from Rome as-far-as Brundisium again
ὁδόν, ἣν καὶ πρὸ ὀλίγων ἐτῶν ἐστείλατο, καθ' ὃν
road which also before few years he-traveled at what
καιρὸν κεχειροτόνητο τῆς Αἰγύπτου καὶ τῆς ὁμόρου
time he-had-been-appointed — of-Egypt and of-the neighboring
Λιβύης ἐπίτροπος, ἵν' αἱ τότε θεασάμεναι πόλεις αὐτὸν
Libya governor so-that the then having-beheld cities him
μέγα πνέοντα καὶ τὸν ὄγκον τῆς εὐτυχίας ἐπιδεικνύμενον
great breathing and the pomp of-the good-fortune displaying
πάλιν θεάσωνται μεστὸν ἀτιμίας.
again might-behold full of-dishonor
153 ὁ δὲ δακτυλοδεικτούμενος καὶ ὀνειδιζόμενος τῆς ἀθρόας
he and being-pointed-at and reproached for-the sudden
μεταβολῆς πιέζεται βαρυτέραις ἀνίαις, ἀεὶ καινουμένης
change is-pressed by-heavier griefs always being-renewed
καὶ ζωπυρουμένης αὐτῷ τῆς συμφορᾶς νεωτέρων κακῶν
and rekindled for-him of-the misfortune of-newer evils
προσθήκαις, ἃ καθάπερ ἐν ταῖς νόσοις ὑποτροπιάζειν
by-additions which as in the diseases to-relapse
ἀναγκάζει καὶ τὰς τῶν ἀρχαίων κακοπραγιῶν ὑπομνήσεις,
compel also the of-the ancient misfortunes reminders
αἳ τέως ἔδοξαν ἠμαυρῶσθαι.
which till-then seemed to-have-been-dimmed
154 Περαιωσάμενος δὲ τὸν Ἰόνιον κόλπον ἔπλει τὴν ἄχρι
having-crossed and the Ionian gulf he-sailed the as-far-as
Κορίνθου θάλατταν, ταῖς παράλοις τῶν ἐν Πελοποννήσῳ
Corinth sea to-the coastal of-the in Peloponnese

πόλεων θέα γινόμενος κατὰ πύστιν τῆς αἰφνιδίου
cities spectacle becoming according-to news of-the sudden
μεταβολῆς· ὁπότε γὰρ ἀποβαίη τῆς νεώς, συνέθεον
change whenever for he-disembarked from-the ship ran-together
οἱ μὲν μοχθηροὶ τὰς φύσεις ἐθελοκακοῦντες, οἱ
the(-ones) indeed wicked in-the natures wishing-evil the(-others)
δ' ἄλλοι συναλγήσοντες, οἷς ἔθος ταῖς ἑτέρων τύχαις
and others going-to-grieve-with-him for-whom custom by-the of-others fortunes
σωφρονίζεσθαι.
to-be-sobered
διελθὼν δ' ἀπὸ Λεχαίου τὸν Ἰσθμὸν εἰς τὴν ἀντιπέραν 155
having-passed and from Lechaeum — Isthmus to the opposite
θάλατταν καὶ καταβὰς εἰς Κεγχρεάς, τὸ Κορίνθιον
sea and having-gone-down to Cenchreae the Corinthian
ἐπίνειον, ἀναγκάζεται πρὸς τῶν φυλάκων ἀναχώρησιν οὐδ'
port he-is-compelled by the guards respite not-even
ἡντιναοῦν ἐνδιδόντων εὐθὺς ἐπιβὰς βραχείας ὁλκάδος
any-whatever granting at-once having-boarded small merchantman
ἀνάγεσθαι καὶ πνεύματος ἐναντίου καταρραγέντος μυρία
to-put-out and wind contrary having-burst-forth countless-things
ταλαιπωρηθεὶς μόλις ἄχρι τοῦ Πειραιῶς κατασύρεται.
having-suffered hardly as-far-as — Piraeus is-swept
λήξαντος δὲ τοῦ χειμῶνος, παραμειψάμενος τὴν Ἀττικὴν 156
having-ceased and the storm having-passed — Attica
ἄχρι τῆς Σουνιάδος ἄκρας τὰς ἑξῆς λοιπὸν ἐπεραιοῦτο
as-far-as the Sunian headland the next thereafter he-crossed
νήσους, τὴν Ἑλένην, τὴν Κίαν, τὴν Κύθνον, τὰς ἄλλας
islands — Helene — Cea — Cythnus the others
ὅσαι κεῖνται στοιχηδὸν ἑξῆς μέχρι τῆς ἐφ' ἣν
as-many-as lie in-a-row next as-far-as the to which
τελευταίαν ἐλθεῖν ἔδει, τὴν Ἀνδρίων.
last to-come it-was-needful the of-Andrians

157 ἣν πόρρωθεν ἰδὼν ὁ κακοδαίμων δακρύων τινὰ φορὰν
which from-afar having-seen the wretched of-tears some flood
ὥσπερ ἀπὸ πηγῆς ἐξέχει κατὰ τῶν παρειῶν καὶ τὰ
as from spring pours-out down the cheeks and the
στέρνα πλήξας, πικρότατα ἀνοιμώξας, "ἄνδρες" εἶπεν,
breast having-struck most-bitterly having-wailed men he-said
"οἱ φύλακές μου καὶ προπομποί, καλήν γε χώραν
the guards my and escorts fine indeed country
Ἄνδρον, οὐκ εὐτυχῆ νῆσον, τῆς εὐδαίμονος Ἰταλίας
Andros not fortunate island for-the prosperous Italy
ἀνθυπαλλάττομαι, Φλάκκος, ὁ γεννηθεὶς μὲν καὶ
I-receive-in-exchange Flaccus the(-one) born indeed and
τραφεὶς καὶ παιδευθεὶς ἐν τῇ ἡγεμονίδι Ῥώμῃ,
reared and educated in the sovereign Rome
158 συμφοιτητὴς δὲ καὶ συμβιωτὴς γενόμενος τῶν θυγατριδῶν
schoolfellow and and companion having-become of-the grandsons
τοῦ Σεβαστοῦ, κριθεὶς δὲ τῶν πρώτων φίλων παρὰ Τιβερίῳ
— of-Augustus judged and of-the first friends by Tiberius
Καίσαρι καὶ τὸ μέγιστον αὐτοῦ τῶν κτημάτων, Αἴγυπτον,
Caesar and the greatest his of-the possessions Egypt
ἐπὶ ἑξαετίαν ἐπιτραπείς. τίς ἡ τοσαύτη μεταβολή;
for six-years entrusted-with what the so-great change
159 νὺξ ἐν ἡμέρᾳ, καθάπερ ἐκλείψεως γενομένης, τὸν ἐμὸν
night in day as of-eclipse having-happened the my
ἐπέσχηκε βίον. τὴν νησίδα ταύτην τί φῶ; πότερον
has-overtaken life the islet this what shall-I-call whether
φυγαδευτήριον ἐμὸν ἢ πατρίδα καινήν, ὑπόδρομον καὶ
place-of-exile mine or fatherland new haven and
καταφυγὴν ἀτυχῆ; τάφος ἂν εἴη τὸ κυριώτατον αὐτῆς
refuge unfortunate tomb — would-be the most-proper its
ὄνομα. στέλλομαι γὰρ ὁ κακοδαίμων ἐγὼ τρόπον τινὰ
name I-am-sent for the wretched I in-a-way some

νεκροφορῶν ἐμαυτὸν ὥσπερ εἰς ἠρίον· ἢ γὰρ ταῖς
carrying-my-own-corpse myself as into tomb either for by-the
ἀνίαις τὴν ἀθλίαν ζωὴν ἀπορρήξω ἤ, κἂν ἐπιβιῶναι
griefs the wretched life I-shall-break-off or even-if to-survive
δυνηθῶ, τὸν μακρὸν καὶ σὺν αἰσθήσει θάνατον ἐκδέξομαι."
I-be-able the long and with perception death I-shall-await
καὶ ὁ μὲν τοιαῦτα ἀπωδύρετο.
and he indeed such-things lamented
τῆς δὲ νεὼς τῷ λιμένι προσσχούσης, ἀπέβαινε πᾶς 160
of-the and ship to-the harbor having-put-in he-disembarked all
εἰς τοὔδαφος νεύων, ὥσπερ οἱ θλιβόμενοι πρὸς ἄχθους
to the-ground bending like those pressed by burden
βαρυτάτου, τὸν αὐχένα ταῖς συμφοραῖς πιεζόμενος, οὐδ'
heaviest the neck by-the misfortunes being-weighed-down not-even
ὅσον ἀνακύψαι σθένων ἢ μὴ τολμῶν διὰ τοὺς
as-much-as to-look-up having-strength or not daring because-of those
συναντῶντας καὶ τοὺς ἐπὶ θέαν ἥκοντας, οἳ παρ' ἑκάτερα
meeting and those for spectacle having-come who on each-side
τῆς ὁδοῦ προειστήκεσαν.
of-the road stood-forward
οἱ δὲ παραπέμψαντες αὐτὸν ἐπὶ τὸν δῆμον ἀγαγόντες 161
they and having-escorted him to the people having-led
τῶν Ἀνδρίων ἐπεδείξαντο πᾶσι, μάρτυρας ποιούμενοι τῆς
of-the Andrians showed to-all witnesses making-them of-the
εἰς τὴν νῆσον ἀφίξεως τοῦ φυγάδος.
to the island arrival of-the exile
καὶ οἱ μὲν τὴν διακονίαν ἐκπλήσαντες ἀπῄεσαν· τῷ δὲ 162
and they indeed the service having-fulfilled went-away — but
Φλάκκῳ μηδεμίαν ὄψιν οἰκείαν ἔτι θεωμένῳ τὸ πάθος
to-Flaccus no face familiar still seeing the suffering
ἐκαινοῦτο τρανότερον φαντασίαις ἐναργεστέραις· καὶ τὴν
was-renewed more-clearly with-imaginations more-vivid and the

ἐν κύκλῳ κατανοοῦντι πολλὴν ἐρημίαν, ἧς μέσος
in circle observing great solitude of-which in-middle
ἀπείληπτο, κουφότερον ἐδόκει κακὸν ἡ ἐν τῇ πατρίδι
he-had-been-cut-off lighter seemed evil the in the fatherland
βίαιος ἀναίρεσις, μᾶλλον δὲ συγκρίσει τῶν παρόντων
violent killing rather but by-comparison of-the present
ἀσπαστὸν ἀγαθόν. οὕτως ἐσφάδαζεν, ὡς μηδὲν τῶν
welcome good so he-was-agitated so-as in-nothing from-the
μεμηνότων διαφέρειν· ἐπήδα πολλάκις ἄνω κάτω διαθέων,
mad to-differ he-leaped often up down running-about
τὰς χεῖρας συνεκρότει, τοὺς μηροὺς ἔπαιε, κατέβαλεν εἰς
the hands he-clapped the thighs he-struck he-threw to
τοὔδαφος ἑαυτόν, ἐξεφώνει πολλάκις·
the-ground himself he-cried-out often
163 "ἐγὼ Φλάκκος εἰμί, ὁ πρὸ μικροῦ τῆς μεγαλοπόλεως
I Flaccus am the before little of-the great-city
ἢ πολυπόλεως Ἀλεξανδρείας ἡγεμών, ὁ τῆς
or many-city Alexandria governor the(-one) of-the
εὐδαιμονεστάτης χώρας ἐπίτροπος Αἰγύπτου, εἰς ὃν
most-prosperous country governor Egypt to whom
ἐπέστρεφον αἱ τοσαῦται μυριάδες τῶν οἰκητόρων, ὁ
turned the so-many tens-of-thousands of-the inhabitants the(-one)
δυνάμεις πολλὰς πεζὰς καὶ ἱππικὰς καὶ ναυτικὰς οὐκ
forces many infantry and cavalry and naval not
ἀριθμὸν ἄλλως ἀλλ' ὅσον δοκιμώτατον ἐν ὑπηκόοις
number idly but as-much-as most-approved among subjects
ἔχων, ὁ καθ' ἑκάστην ἡμέραν ἐν ταῖς ἐξόδοις ὑπὸ
having the(-one) on each day in the goings-out by
μυρίων ὅσων παραπεμπόμενος.
countless how-many escorted

ἀλλὰ μὴ φάσμα ταῦτ᾽ ἦν, οὐκ ἀλήθεια; καὶ κοιμώμενος
but not phantom these-things were not truth and sleeping
ὄναρ εἶδον τὴν τότ᾽ εὐθυμίαν, εἴδωλα κατὰ κενοῦ
dream I-saw the then gladness images on empty
βαίνοντα, πλάσματα ψυχῆς ἴσως ἀναγραφούσης τὰ μὴ
treading fabrications of-soul perhaps recording the-things not
ὑπάρχοντα ὡς ὄντα; διηπάτημαι·
existing as being I-have-been-deceived
σκιὰ πραγμάτων ἄρ᾽ ἦσαν, οὐ πράγματα, μίμησις
shadow of-things then they-were not things imitation
ἐναργείας, οὐκ ἐνάργεια τρανοῦσα τὸ ψεῦδος. ὡς γὰρ
of-clearness not clearness exposing the falsehood as for
τῶν ἐν τοῖς ὀνείροις φανέντων οὐδὲν περιαναστάντες
of-the-things in the dreams having-appeared nothing having-got-up
εὑρίσκομεν, ἀλλ᾽ οἴχεται πάντα ἀθρόα διαπτάντα, οὕτως
we-find but are-gone all-things together having-flown-away so
καὶ τὰ λαμπρὰ ἐκεῖνα, οἷς ποτε ἐνωμίλησα, ἐσβέσθη
also the brilliant those with-which once I-consorted were-quenched
βραχυτάτῃ καιροῦ ῥοπῇ."
by-briefest of-time turn

Wrestling with such thoughts, he shuns company, wanders alone outside the walls, and cannot sleep for terror, and once, at midnight, looking up at heaven and the stars, he cries out that the king of gods and men does care for the Jews, confessing each wrong he did them and suffered in return. Gaius, insatiable in punishment, hates him the more, regrets sentencing him to exile and not death, and orders the most eminent exiles killed, Flaccus first. Seeing the killers from afar, Flaccus flees across the rough ground, is overtaken, and, struggling, is cut to pieces, his wounds as many as the Jews lawlessly killed, a proof that the Jewish nation is not deprived of God's help.

166 Τοιούτοις ἀεὶ κατεπαλαίετο λογισμοῖς καὶ τρόπον
by-such always he-was-wrestled-down reasonings and in-a-way
τινὰ ἐξετραχηλίζετο· τὰς δὲ τῶν πολλῶν συνόδους
some was-thrown-headlong the and of-the many gatherings
ἀποδιδράσκων διὰ τὴν παρακολουθοῦσαν αἰσχύνην οὔτ'
running-from because-of the attending shame neither
εἰς λιμένα κατήει οὔτ' εἰς ἀγορὰν προελθεῖν ὑπέμενεν,
to harbor went-down nor to market-place to-go-forward endured
ἀλλ' οἴκοι συγκλεισάμενος ἐφώλευε, μηδὲ τὴν αὔλειον
but at-home having-shut-himself-up lurked-in-his-den not-even the courtyard-door
ὑπερβαίνειν θαρρῶν.
to-cross daring

167 ἔστι δ' ὅτε καὶ περὶ βαθὺν ὄρθρον, ἔτι τῶν ἄλλων ἐν
it-is and when also about deep dawn still the others in
εὐναῖς ὄντων, μηδενὶ φανεὶς τὸ παράπαν ἔξω τείχους
beds being to-no-one appearing the altogether outside wall
προῄει καὶ διημέρευεν ἐπὶ τῆς ἐρημίας, ἐκτρεπόμενος
he-went-forward and spent-the-day in the solitude turning-aside
εἴ πού τις ὑπαντήσειν ἔμελλε, καὶ ταῖς ἐναύλοις
if anywhere anyone to-meet was-going and by-the fresh

μνήμαις τῶν κακοπραγιῶν διακναιόμενος καὶ διεσθιόμενος
memories of-the misfortunes being-worn-away and being-eaten-through
τὴν ψυχήν, ὁ δείλαιος, νυκτὸς εἰσῄει βαθείας, εὐχόμενος
the soul the wretched by-night entered deep praying
διὰ τὰς ἀμέτρους καὶ ἀτελευτήτους ἀδημονίας ἑσπέραν
because-of the immoderate and endless distresses evening
μὲν πρωΐαν γενέσθαι, πεφρικὼς τὸ σκότος καὶ τὰς
indeed morning to-become shuddering-at the darkness and the
ἀλλοκότους φαντασίας, ὁπότε τύχοι καταδαρθών, ἅμα
strange imaginations whenever he-happened having-fallen-asleep at-once
δὲ τῇ ἕῳ πάλιν ἑσπέραν· ὁ γὰρ περὶ αὐτὸν ζόφος
but with-the dawn again evening the for about him gloom
ἠναντιοῦτο τοῖς φαιδροῖς ἅπασιν.
was-opposed to-the bright-things all
ὀλίγοις δ' ὕστερον μησὶ βραχύ τι γῄδιον πριάμενος 168
by-few and later months small some plot-of-land having-bought
ἐν αὐτῷ πολλὰ διέτριβε μονούμενος καὶ τὸν οἰκεῖον
in it much passed-time being-alone and the own
ἐπιστένων καὶ κατακλαίων δαίμονα.
groaning-over and weeping-for fate
λέγεται δέ ποτε καὶ περὶ μέσας νύκτας ὥσπερ οἱ 169
it-is-said and once also about middle nights like the(-ones)
κορυβαντιῶντες ἔνθους γενόμενος, ἐκ τῆς ἐπαύλεως ἔξω
Corybant-frenzied possessed having-become from the farmhouse outside
προελθὼν καὶ τὴν ὄψιν ἀνατείνας εἰς οὐρανὸν καὶ τοὺς
having-gone-forth and the sight having-lifted to heaven and the
ἀστέρας, τὸν ἐν κόσμῳ κόσμον ὄντως ἰδών, ἀναβοῆσαι·
stars the in cosmos cosmos truly having-seen to-cry-out
"βασιλεῦ θεῶν καὶ ἀνθρώπων, οὐκ ἄρα τοῦ τῶν Ἰουδαίων 170
king of-gods and men not then the of-the Jews
ἔθνους ἀμελῶς ἔχεις, οὐδ' ἐπιψεύδονται τὴν ἐκ σοῦ
nation carelessly you-are nor do-they-falsely-claim the from you

πρόνοιαν, ἀλλ᾽ ὅσοι φασὶν αὐτοὺς μὴ προαγωνιστῇ
providence but as-many-as say them not as-champion
σοι καὶ ὑπερμάχῳ χρῆσθαι, δόξης ὑγιοῦς διαμαρτάνουσι.
you and defender to-have of-opinion sound fail
σαφὴς δ᾽ ἐγὼ πίστις· ὅσα γὰρ κατεμάνην τῶν
clear and I proof as-many-as for I-raved-against the
Ἰουδαίων, αὐτὸς πέπονθα.
Jews myself I-have-suffered
171 τὰς οὐσίας ἁρπαζομένων περιεῖδον ἐκεχειρίαν τοῖς
the estates of-(them)-being-plundered I-overlooked truce to-the
λεηλατοῦσι διδούς· ἀφῃρέθην διὰ τοῦτο τὰ πατρῷα
plunderers giving I-was-deprived because-of this the paternal
καὶ μητρῷα καὶ ὅσα ἐν μέρει χάριτος καὶ δωρεᾶς
and maternal and as-many-as in part of-favor and gift
ἔλαβον ἢ ὅσα ἄλλα καθ᾽ ἑτέρας ἰδέας ἐκτησάμην.
I-received or as-many-as other by other kinds I-acquired
172 ὠνείδισά ποτε ἀτιμίαν καὶ ξενιτείαν αὐτοῖς ἐπιτίμοις οὖσι
I-reproached once dishonor and foreignness them enfranchised being
κατοίκοις, ἵν᾽ ἡσθῶσιν οἱ ἀντίπαλοι, πλῆθος ἀσύντακτον
settlers so-that might-rejoice the opponents multitude disorderly
καὶ πεφορημένον, ὑφ᾽ οὗ κολακευόμενος ὁ δυστυχὴς
and jumbled by whom being-flattered the unfortunate
ἠπατώμην· διὰ τοῦτο ἠτίμωμαι καὶ φυγὰς ἐξ
I-was-deceived because-of this I-have-been-dishonored and exile from
ἁπάσης ἐληλαμένος τῆς οἰκουμένης ἐνταυθοῖ συγκέκλεισμαι.
all having-been-driven the inhabited-world here I-have-been-shut-up
173 παράγων εἰς τὸ θέατρον ἐνίους ἐν ὄψεσι τῶν ἐχθίστων
bringing into the theater some in sight of-the most-hateful
αἰκίζεσθαι προσέταττον ἀδίκως· τοιγαροῦν ἐγὼ δικαίως
to-be-tortured I-ordered unjustly therefore I justly
οὐκ εἰς θέατρον ἓν ἢ μίαν πόλιν ἐπὶ ταῖς ἐσχάταις ὕβρεσι
not into theater one or one city to the utmost outrages

παρήχθην αἰκισθεὶς πρὸ τοῦ σώματος τὴν ἀθλίαν ψυχήν,
was-brought tortured before the body the wretched soul
ἀλλ' ἐπόμπευσα διὰ μὲν πάσης Ἰταλίας ἄχρι Βρεντεσίου,
but I-was-paraded through indeed all Italy as-far-as Brundisium
διὰ δὲ πάσης Πελοποννήσου μέχρι Κορίνθου, διὰ δὲ τῆς
through and all Peloponnese as-far-as Corinth through and —
Ἀττικῆς καὶ τῶν νήσων ἄχρις Ἄνδρου, τῆς ἐμῆς εἱρκτῆς.
Attica and the islands as-far-as Andros the my prison
καὶ πέπεισμαι σαφῶς, ὅτι οὐκ ἔστιν ὅρος οὗτος τῶν ἐμῶν 174
and I-am-persuaded clearly that not is limit this of-the my
κακοπραγιῶν, ἀλλ' ἐφεδρεύουσιν ἕτεραι πρὸς ἐκπλήρωσιν
misfortunes but lie-in-wait others for fulfillment
ἀντίρροπον ὧν εἰργασάμην. ἀνεῖλόν τινας καὶ ἀναιρεθεῖσι
counterbalancing of-what I-did I-killed some and for-(those)-killed
πρὸς ἑτέρων οὐκ ἐπεξῆλθον· κατελεύσθησάν τινες καὶ
by others not I-prosecuted were-stoned some and
ζῶντες οἱ μὲν ἐνεπρήσθησαν, οἱ δὲ διὰ μέσης
living the(-ones) indeed were-burned the(-others) and through middle
κατεσύρησαν ἀγορᾶς, ἕως ὅλα τὰ σώματα αὐτοῖς ἐδαπανήθη.
were-dragged market-place until whole the bodies for-them were-consumed
τούτων οἶδ' ὅτι ἀναμένουσί με αἱ Ποιναί, καὶ οἱ ἀλάστορες 175
for-these I-know that await me the Penalties and the avengers
ὥσπερ ἐπὶ βαλβῖσιν ἑστᾶσιν ἤδη καὶ φονῶντες ἔγκεινται,
as at starting-posts stand already and murderous press-on
καὶ καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ ὥραν, προαποθνήσκω
and on each day rather and hour I-die-beforehand
πολλοὺς θανάτους ὑπομένων ἀνθ' ἑνὸς τοῦ τελευταίου."
many deaths enduring instead-of one the last
πολλάκις δὲ ἐδειματοῦτο καὶ διεπτόητο καὶ φρίκῃ 176
often and he-was-terrified and was-scared and with-shuddering
μὲν τὰ μέλη καὶ μέρη τοῦ σώματος κατεσείετο, φόβῳ
indeed the limbs and parts of-the body were-shaken with-fear

δ᾽ ὑπότρομον εἶχε τὴν ψυχὴν ἄσθματι καὶ παλμῷ
and trembling he-had the soul by-gasping and throbbing
τινασσομένην, ἅτε τοῦ μόνου παρηγορεῖν τὸν ἀνθρώπινον
being-shaken as of-the only to-console the human
βίον ἐκ φύσεως δυναμένου στερόμενος, χρηστῆς ἐλπίδος.
life by nature being-able deprived good hope
177 ὄρνις αἴσιος οὐδεὶς αὐτῷ προυφαίνετο· πάντες δυσοιώνιστοι,
bird auspicious no to-him appeared all ill-omened
κληδόνες παλίμφημοι, ἐπίπονος ἐγρήγορσις, περιδεὴς ὕπνος,
utterances ill-boding toilsome waking very-fearful sleep
ἡ μόνωσις θηριώδης. ἀλλ᾽ ἥδιστον αὐτῷ τὸ ἀγελαῖον;
the solitude beast-like but sweetest to-him the herd-life
ἀηδέστατον αἱ κατὰ πόλιν διατριβαί· ἀσφαλὲς ὄνειδος ἡ
most-unpleasant the in city stays safe disgrace the
κατ᾽ ἀγρὸν ἐρημία; σφαλερόν, ἀδυσώπητον· ὁ ἠρέμα
in country solitude perilous shameless the(-one) quietly
προσιὼν ὕποπτος.
approaching suspect
178 "βουλεύεταί τι" φησί "κατ᾽ ἐμοῦ ὁ θᾶττον βαδίζων·
plots something he-says against me the(-one) faster walking
οὐ πρὸς ἕτερόν τι σπεύδων ἔοικεν, ἀλλ᾽ ἐμὲ διώκει· ὁ
not to other anything hastening he-seems but me pursues the
ἡδὺς ἐνεδρεύει, ὁ παρρησιαστὴς καταφρονεῖ· σιτία μοι
pleasant lies-in-wait the outspoken despises food to-me
καὶ ποτὰ καθάπερ τοῖς θρέμμασιν ἐπὶ σφαγὴν δίδοται.
and drinks as to-the beasts for slaughter is-given
179 μέχρι τίνος ὁ σιδηροῦς πρὸς τοσαύτας ἀντέχω συμφοράς;
until what the iron against so-many do-I-hold-out misfortunes
οἶδ᾽ ὅτι μαλακίζομαι πρὸς θάνατον, ἐξ ἐπηρείας
I-know that I-am-faint toward death through spite
δαίμονος οὐκ ἐπιτρέποντός μοι τὴν ἀθλίαν ζωὴν συντόμως
of-fate not allowing me the wretched life quickly

ἀπορρῆξαι διά τινας ὑπερβολὰς ἀνηκέστων κακῶν, ἃ
to-break-off because-of some excesses of-incurable evils which
κατ᾽ ἐμοῦ θησαυριζόμενος χαρίζεται τοῖς δολοφονηθεῖσι.᾽᾽
against me storing-up it-gratifies to-the treacherously-murdered
τοιαῦτα ἀναπολῶν καὶ σφαδάζων ἐκαραδόκει τῆς 180
such-things pondering and struggling he-awaited of-the
εἱμαρμένης τὸ πέρας· καὶ τοῦ μὲν αἱ συνεχεῖς ὀδύναι
destiny the end and his indeed the continual pains
τὴν ψυχὴν ἀνεκύκων καὶ ἀνέστρεφον. Γάιος δὲ τὴν φύσιν
the soul stirred-up and overturned Gaius and the nature
ὠμόθυμος ὢν καὶ ἀκόρεστος ἐν ταῖς τιμωρίαις οὐχ ὥσπερ
savage-hearted being and insatiable in the punishments not like
ἔνιοι μεθίετο τοὺς ἅπαξ κολασθέντας, ἀλλ᾽ ἀτελεύτητα
some released those once punished but endlessly
μηνιῶν ἀεί τινα καινὴν ἐπ᾽ αὐτοῖς ἐμεγαλούργει συμφοράν·
raging always some new upon them he-wrought misfortune
τὸν δὲ Φλάκκον καὶ διαφερόντως ἤχθαιρεν, ὡς καὶ τοὺς
— and Flaccus also especially he-hated so-as even those
ὁμωνύμους ἀλλοτριώσει τῆς κλήσεως ὑποβλέπεσθαι.
of-the-same-name by-estrangement of-the name to-be-eyed-askance
καὶ πολλάκις αὐτὸν μετάνοια εἰσῄει, διότι κατέγνω φυγήν, 181
and often him repentance entered because he-decreed exile
ἀλλ᾽ οὐχὶ θάνατον, καὶ τὸν παράκλητον αἰδούμενος ὅμως
but not death and the advocate respecting nevertheless
ᾐτιᾶτο Λέπιδον, ὥστ᾽ ἐκεῖνος ἀπηγόρευσε φόβῳ τῆς καθ᾽
he-blamed Lepidus so-that that-one gave-up through-fear of-the against
αὑτοῦ τιμωρίας· ἐδεδίει γάρ, ὡς εἰκός, μὴ παραίτιος ἄλλῳ
himself punishment he-feared for as likely lest accessory to-another
γενόμενος κουφοτέρας δίκης βαρυτέραν αὐτὸς ἐνδέξηται.
having-become of-lighter penalty heavier himself he-receive

182 μηδενὸς οὖν ἔτι τι τῶν εἰς παραίτησιν λέγειν
no-one then still anything of-the-things for intercession to-say
θαρροῦντος, ἀμειλίκτοις καὶ ἀφέτοις ἐχρῆτο ταῖς ὀργαῖς,
daring with-implacable and unchecked he-used the angers
αἵ, χρόνῳ δέον ἀμαυροῦσθαι, παρεθήγοντο μᾶλλον
which with-time it-being-needful to-be-dimmed were-whetted more
καθάπερ αἱ ἐν τοῖς σώμασιν ὑποτροπιάζουσαι νόσοι· τῶν
like the in the bodies relapsing diseases than-the
γὰρ προτέρων εἰσὶν ἀργαλεώτεραι.
for former are more-grievous

183 φασὶν οὖν, ὅτι νύκτωρ ποτὲ διαγρυπνῶν εἰς ἔννοιαν ἦλθε
they-say then that by-night once lying-awake into thought he-came
τῶν ἐν τέλει φυγάδων, ὀνόματι μὲν ὑποπτευομένων
of-those in office exiles in-name indeed suspected
ἀτυχεῖν, βίον δ' ἀπράγμονα καὶ ἡσυχάζοντα καὶ
to-be-unfortunate life but untroubled and quiet and
ἐλεύθερον ὄντως περιπεποιημένων.
free truly having-secured

184 μετετίθει δὲ καὶ τὴν κλῆσιν ἀποδημίαν προσαγορεύων·
he-changed and also the name sojourn calling-it
"ἀποδημία γάρ τίς ἐστιν" ἔφασκεν "ἡ τῶν τοιούτων ἔλασις
sojourn for some is he-said the of-the such expulsion
ἐχόντων ἄφθονα τὰ ἐπιτήδεια καὶ σὺν ἀπραγμοσύνῃ καὶ
having abundant the necessities and with freedom-from-affairs and
εὐσταθείᾳ ζῆν δυναμένων· οὓς ἄτοπον εἶναι τρυφᾶν
stability to-live being-able whom absurd to-be to-live-luxuriously
ἀπολαύοντας εἰρήνης, βίον καρπουμένους φιλόσοφον."
enjoying peace life reaping philosophic

185 εἶτα προστάττει τοὺς ἐπιφανεστάτους καὶ ὧν πλεῖστος
then he-orders the most-notable and of-whom greatest
ὁ λόγος ἀναιρεθῆναι, γραφὴν δοὺς ὀνομάτων, ἧς
the account to-be-killed list having-given of-names of-which

ἡγεῖτο Φλάκκος. ἐπεὶ δ' ἦκον εἰς Ἄνδρον οἷς
led Flaccus when and came to Andros those-to-whom
κτείνειν διείρητο, Φλάκκος μὲν ἐτύγχανεν ἀγρόθεν εἰς
to-kill had-been-ordered Flaccus indeed happened from-the-country to
ἄστυ παραγινόμενος, οἱ δ' ἐκ τοῦ λιμένος ὑπηντίαζον,
town arriving they and from the harbor came-to-meet
καὶ πόρρωθεν ἀντιπροεῖδον ἀλλήλους.
and from-afar saw-beforehand each-other
ὅθεν συναισθόμενος ἐφ' ὃ σπεύδουσι — μαντικώτατον γὰρ 186
whence perceiving for what they-hasten most-prophetic for
ἡ ἑκάστου ψυχή, καὶ μάλιστα τῶν ἐν κακοπραγίαις —
the of-each soul and most of-those in misfortunes
ἐκτραπόμενος τῆς ὁδοῦ διὰ τραχείας ἔθει φεύγων,
having-turned-aside from-the road through rough he-ran fleeing
ἐπιλελησμένος ἴσως, ὅτι νῆσος ἀλλ' οὐκ ἤπειρός ἐστιν, ἐν ᾗ
having-forgotten perhaps that island but not mainland it-is in which
τί ὄφελος ὠκύτητος, περικλειούσης θαλάττης; ἀνάγκη γὰρ
what benefit of-swiftness enclosing sea necessity for
δυοῖν θάτερον, ἢ προσωτέρω χοροῦντα κατὰ τοῦ πελάγους
of-two the-other either farther going down the sea
ἐνεχθῆναι ἢ συλληφθῆναι πρὸς αὐτὸ τὸ πέρας ἥκοντα.
to-be-borne or to-be-caught at the-very the end having-come
βέλτιον ἄρ' ἐν συγκρίσει κακῶν ἡ κατὰ γῆν τῆς ἐν πελάγει 187
better then in comparison of-evils the on land than-the in sea
φθορά, ἐπειδήπερ ἀνθρώποις καὶ πᾶσι χερσαίοις οἰκειότατον
destruction since for-men and all land-creatures most-proper
ἡ φύσις χωρίον ἀπένειμε γῆν, οὐ μόνον ζῶσιν ἀλλὰ καὶ
the nature place assigned land not only living but also
ἀποθανοῦσιν, ἵν' ἡ αὐτὴ καὶ τὴν πρώτην ὑποδέχηται
having-died so-that the same both the first may-receive
γένεσιν καὶ τὴν ἐκ τοῦ βίου τελευταίαν ἀνάλυσιν.
birth and the from the life last dissolution

188 οἱ δ᾽ ἀπνευστὶ διώκοντες καταλαμβάνουσι· καὶ οἱ
they and breathlessly pursuing overtake and the(-ones)
μὲν εὐθὺς ὄρυττον βόθρον, οἱ δὲ πρὸς βίαν εἷλκον
indeed at-once dug pit the(-others) and by force dragged
ἀφηνιάζοντα καὶ κεκραγότα καὶ διαπαλαίοντα· ὧν
resisting and shouting and struggling for-which
χάριν καὶ σύμπαν κατετρώθη τὸ σῶμα καθάπερ τὰ θηρία
reason also whole was-wounded the body like the beasts
ταῖς πληγαῖς ἐπιτρέχων.
at-the blows running-upon
189 ἐμπλεκόμενος γὰρ καὶ τῶν κτεινόντων ἐλλαμβανόμενος, νῦν
entangling for and of-the killers grabbing now
μὲν ἐπιφέρειν τὰ ξίφη κωλυομένων, ἐγκαρσίους δὲ πληγὰς
indeed to-bring-down the swords being-hindered crosswise but blows
καταφερόντων, αἴτιος ἐγένετο βαρυτέρων ἑαυτῷ συμφορῶν·
bringing-down cause he-became of-heavier to-himself misfortunes
διατμηθεὶς δὲ καὶ διακοπεὶς χεῖρας, βάσεις, κεφαλήν, στέρνα,
cut-through and also hacked-apart hands feet head breast
πλευράς, ὡς ἱερείου τρόπον κρεουργηθῆναι, ἔκειτο, τῆς δίκης
sides so-as of-victim like to-be-butchered he-lay of-the justice
σφαγὰς ἰσαρίθμους τοῖς φόνοις τῶν ἐκνόμως ἀναιρεθέντων
slaughters equal-in-number to-the murders of-the lawlessly killed
Ἰουδαίων ἑνὶ σώματι βουληθείσης ἐργάσασθαι.
Jews on-one body having-wished to-work
190 καὶ ὁ μὲν τόπος ἅπας αἵματι κατερρεῖτο διὰ πλειόνων
and the indeed place all with-blood was-streamed-over through many
φλεβῶν, αἳ κατὰ μέρος διεκόπησαν, κρουνηδὸν ἐκχεομένῳ·
veins which one-by one were-cut in-streams pouring-out
συρομένου δ᾽ εἰς τὸν ὀρωρυγμένον βόθρον τοῦ νεκροῦ
being-dragged and into the dug pit of-the corpse

τὰ πλεῖστα μέρη διελύετο, τῶν νεύρων κατεσχισμένων,
the most parts were-dissolved of-the sinews torn
οἷς ἡ κοινωνία συνεδεῖτο πᾶσα τοῦ σώματος.
by-which the fellowship was-bound all of-the body
τοιαῦτα καὶ Φλάκκος ἔπαθε γενόμενος ἀψευδεστάτη πίστις 191
such-things also Flaccus suffered having-become most-unerring proof
τοῦ μὴ ἀπεστερῆσθαι τὸ Ἰουδαίων ἔθνος ἐπικουρίας τῆς
of-the not to-have-been-deprived the of-Jews nation of-help the
ἐκ θεοῦ.
from god

JOSEPHUS

ΙΟΥΔΑΪΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ ΙΘ

Jewish Antiquities XIX

Gaius' madness reaches beyond the Jews to every land and sea under Rome, and above all to Rome itself, whose senators and knights he plunders and kills. He deifies himself, calls the Capitoline Zeus his brother, drives a chariot over a bridge from Dicaearchia to Misenum, strips the Greek temples, and orders Phidias' Olympian Zeus brought to Rome, until Memmius Regulus, warned it would be ruined, puts the removal off. He sets his newborn daughter on the god's knees and lets slaves accuse their masters, even Claudius. Three conspiracies form, under Aemilius Regulus, Cassius Chaerea, and Annius Minucianus, each with its grievance, and when the crowd at the races begs for tax relief, Gaius has the shouters killed.

Γάιος δὲ οὐκ εἰς μόνους Ἰουδαίους τοὺς ἐν Ἱεροσολύμοις 1
Gaius and not against alone Jews those in Jerusalem
καὶ τοὺς ὁπόσοι τῇδε οἰκοῦσιν ἐπεδείκνυτο τῆς ὕβρεως
and those as-many-as here dwell displayed of-the insolence
τὴν μανίαν, ἀλλὰ διὰ πάσης ἐσομένην γῆς καὶ θαλάσσης
the madness but through all going-to-be land and sea
ἔστελλεν αὐτήν, ὁπόση Ῥωμαίοις ὑπακούει, μυρίων τε
he-sent it as-much-as to-Romans is-subject countless both
ἀνέπλησεν αὐτὴν κακῶν ὁπόσα μὴ ἱστόρητο πρότερον.
filled it with-evils as-many-as not had-been-recorded before
μάλιστα δὲ ᾐσθάνετο τοῦ δεινοῦ τῶν πρασσομένων 2
most and felt the terror of-the-things done
ἡ Ῥώμη κατ' οὐδὲν αὐτὴν τιμιωτέραν τῶν λοιπῶν
— Rome in nothing it more-honored than-the remaining
πόλεων ἡγουμένου, ἀλλὰ τούς τε ἄλλους ἄγοντος καὶ
cities he-considering but the both others plundering and
φέροντος καὶ μάλιστα τὴν σύγκλητον καὶ ὁπόσοι τούτων
carrying-off and most the senate and as-many-as of-these
εὐπατρίδαι καὶ προγόνων ἐπιφανείαις τιμώμενοι.
patricians and of-ancestors by-distinctions honored

3 μυρία τε εὑρίσκετο καὶ κατὰ τῶν ἱππέων μὲν καλουμένων,
countless both he-devised also against the knights indeed so-called
ἀξιώματι δὲ καὶ δυνάμει χρημάτων ὅμοια τοῖς συγκλητικοῖς
in-rank but and power of-money alike to-the senators
ὑπὸ τῆς πόλεως ἀγομένων διὰ τὸ ἐκ τούτων εἰς
by the city regarded because-of the from these into
τὴν βουλὴν εἶναι κατακλήσεις· ὧν ἀτίμωσις ἦν καὶ
the council to-be enrollments of-whom disfranchisement was and
μετανάστασις κτεινομένων τε καὶ τὰ χρήματα συλωμένων
banishment being-killed both and the money being-stripped
διὰ τὸ καὶ τὰς σφαγὰς ὡς τὸ πολὺ ἐπ᾽ ἀφαιρέσει
because-of the also the slaughters as the much for removal
τῶν χρημάτων αὐτοῖς συντυγχάνειν.
of-the money for-them to-happen

4 ἐξεθείαζέν τε ἑαυτὸν καὶ τὰς τιμὰς οὐκέτ᾽ ἀνθρωπίνως
deified both himself and the honors no-longer humanly
ἠξίου γίνεσθαι παρὰ τῶν ὑπηκόων αὐτῷ· εἵς τε τοῦ
he-deemed-fit to-come from the subjects to-him into both —
Διὸς φοιτῶν τὸ ἱερόν, ὃ Καπετώλιον μὲν καλοῦσιν
of-Zeus going the temple which Capitol indeed they-call
τιμιώτατον δ᾽ ἄρα αὐτοῖς ἐστιν ἱερῶν, ἀδελφὸν ἐτόλμησε
most-honored and then for-them is of-temples brother dared
προσαγορεύειν τὸν Δία·
to-address — Zeus

5 καὶ τἆλλα ἔπρασσεν μανίας οὐδὲν ἀπολελειμμένα,
and the-other-things did of-madness in-nothing falling-short
ἐπεὶ καὶ ἀπὸ Δικαιαρχείας τῆς πόλεως ἐν Καμπανίᾳ
since also from Dicaearchia the city in Campania
κειμένης εἰς Μισηνοὺς ἑτέραν πόλιν ἐπιθαλάσσιον, καὶ
lying to Misenum another city by-the-sea also
τὴν διάβασιν δεινὸν ἡγούμενος τριήρει περατοῦν,
the crossing terrible considering by-trireme to-cross

καὶ ἄλλως ἐπιβάλλειν ἡγούμενος αὐτῷ δεσπότῃ ὄντι τῆς 6
and otherwise to-befit considering to-him master being of-the
θαλάσσης ταῦτα καὶ ὁποῖα καὶ παρὰ γῆς ἀπαιτεῖν,
sea these-things also such-as also from land to-demand
ἀπ᾽ ἄκρων ἐπ᾽ ἄκρα σταδίους τριάκοντα μέτρον τῆς
from headland to headland stades thirty measure of-the
θαλάσσης καὶ εἴσω τὸν κόλπον ἀπολαβὼν πάντα ἤλαυνεν
sea and inside the gulf having-cut-off all-the-way he-drove
ἐπὶ τῇ γεφύρᾳ τὸ ἅρμα· θεῷ γὰρ ὄντι τοιαύτας ποιεῖσθαι
upon the bridge the chariot for-god for being such to-make
καλῶς ἔχειν τὰς ὁδούς.
well to-be the roads
τῶν τε ἱερῶν τῶν Ἑλληνικῶν οὐδὲν ἔτι ἀσύλητον 7
of-the both temples the Greek nothing still unplundered
κατέλιπεν, ὁπόσα γραφῆς ἢ γλυφῆς ἐχόμενα καὶ τὰς
he-left as-many-as of-painting or of-sculpture pertaining and the
λοιπὰς κατασκευὰς ἀνδριάντων καὶ ἀναθημάτων ἄγεσθαι
remaining furnishings of-statues and of-offerings to-be-brought
κελεύσας παρ᾽ αὐτόν· οὐ γὰρ ἐν ἑτέρῳ τὰ καλὰ
having-ordered to him not for in other the beautiful-things
κεῖσθαι καλῶς ἔχειν ἢ ἐν τῷ καλλίστῳ, τυγχάνειν δὲ
to-lie well to-be than in the most-beautiful to-happen and
τοῦτο οὖσαν τὴν Ῥωμαίων πόλιν.
this being the of-Romans city
ἐκόσμει τε τοῖς ἐνθένδε ἀγομένοις τήν τε οἰκίαν 8
he-adorned both with-the-things from-there brought the both house
καὶ τοὺς κήπους ὁπόσαι τε αὐτῷ καταγωγαὶ διὰ γῆς
and the gardens as-many-as both for-him lodgings through land
τῆς τῶν Ἰταλῶν. ἐπεὶ καὶ τὸν Ὀλύμπιον τιμώμενον Δία
the of-the Italians since even the Olympian honored Zeus
ὑπὸ τῶν Ἑλλήνων καὶ οὕτως ὠνομασμένον Ὀλύμπιον
by the Greeks and so named Olympian

Φειδίου τοῦ Ἀθηναίου πεποιηκότος ἐτόλμησε κελεῦσαι εἰς
Phidias the Athenian having-made he-dared to-order to
τὴν Ῥώμην μεταφέρειν.
— Rome to-transfer

9 οὐ μὴν ἔπραξέν γε τῶν ἀρχιτεκτόνων φαμένων
not indeed he-did indeed the architects saying
πρὸς Μέμμιον Ῥῆγλον, ὃς ἐπετέτακτο τῇ κινήσει
to Memmius Regulus who had-been-charged with-the moving
τοῦ Διός, ἀπολεῖσθαι τοὔργον κινήσεως αὐτοῦ
— of-Zeus to-be-going-to-be-ruined the-work moving of-it
γενομένης. λέγεται δὲ Μέμμιον διὰ ταῦτα καὶ σημείων
having-happened it-is-said and Memmius because-of these-things and signs
μειζόνων γενομένων, ἢ ὡς ἄν τινα μὴ πιστὰ ἡγεῖσθαι,
greater having-happened than as — anyone not credible to-consider
ὑπερβαλέσθαι τὴν ἀναίρεσιν.
to-postpone the removal

10 καὶ γράφει τάδε πρὸς τὸν Γάιον ἐπ᾽ ἀπολογίᾳ τοῦ
and he-writes these-things to — Gaius in defense of-the
ἐκλιπεῖν ἀδιακόνητον τὴν ἐπιστολήν, ἀπολέσθαι τε ἐκ
to-have-left undone the order to-perish both from
τούτων αὐτῷ κινδύνου γενομένου σώζεται φθάνοντος ἤδη
these for-him danger having-arisen he-is-saved anticipating already
Γαΐου τελευτῆσαι.
Gaius to-die

11 Εἰς τοῦτο δὲ προύβη τὸ μανικὸν αὐτῷ, ὥστε δὴ καὶ
to this and advanced the madness for-him so-that indeed also
θυγατρὸς αὐτῷ γενομένης ἀνακομίσας ἐπὶ τὸ Καπετώλιον
daughter to-him having-been-born having-carried-up to — Capitol
ἐπὶ τοῖς γόνασι κατατίθεται τοῦ ἀγάλματος, κοινὸν αὐτῷ
on the knees he-places of-the statue common to-him
τε καὶ τῷ Διὶ γεγονέναι τὸ τέκνον καὶ δύο χειροτονεῖν
both and — to-Zeus to-have-become the child and two to-appoint

αὐτῆς πατέρας, ὁπότερον μείζονα φάμενος ἐν μέσῳ τε
her fathers which-of-the-two greater saying in middle both
καταλιμπάνειν.
to-leave
καὶ τάδε ἠνείχοντο πράσσοντα αὐτὸν οἱ ἄνθρωποι. 12
and these-things endured doing him the men
ἐπεχείρησε δὲ καὶ τοῖς οἰκέταις κατηγορίας ποιεῖσθαι τῶν
he-attempted and also to-the slaves accusations to-make of-the
δεσποτῶν ἐφ᾽ οἷστισιν ἐθελήσειαν ἐγκλήμασιν· δεινὰ γὰρ
masters on whatever they-wished charges terrible for
πάντα ἦν, ὁπόσα μέλλοι λέγεσθαι, διὰ τὸ χάριτί τε
all-things were as-many-as might to-be-said because-of the by-favor both
καὶ ὑπαγορεύσει τῇ ἐκείνου τὰ πολλὰ γίνεσθαι,
and prompting the his the many-things to-happen
ὥστε ἤδη καὶ Κλαυδίου ἐτόλμα ποιήσασθαι Πολυδεύκης ὁ 13
so-that already even of-Claudius dared to-make Polydeuces the
δοῦλος κατηγορίαν, καὶ Γάιος ἠνείχετο κατὰ πατρῴου τοῦ
slave accusation and Gaius endured against uncle the
αὐτοῦ δίκης θανάτου λεγομένης ἐπ᾽ ἀκροάσει συνελθεῖν
his trial of-death spoken for hearing to-come-together
ἐλπίδι τοῦ παραλαβεῖν δύναμιν ἀνελεῖν αὐτόν.
in-hope of-the to-get power to-kill him
οὐ μὴν ἐξεγένετό γε αὐτῷ. ἀναπεπληρωκότι δὲ αὐτῷ 14
not indeed it-succeeded indeed for-him having-filled but him
συκοφαντιῶν καὶ κακῶν πᾶσαν τὴν οἰκουμένην, ἧς
with-calumnies and evils all the inhabited-world which
ἐπῆρχεν, καὶ πολλὴν τὴν δουλοκρατίαν ἐπῃρμένου τοῖς
he-ruled and great the slave-rule having-raised over-the
δεσπόταις ἐπιβουλαὶ τὰ πολλὰ ἤδη συνίσταντο, τῶν
masters plots the many already were-formed the(-ones)
μὲν ἐπ᾽ ἀμύνῃ ὧν πάθοιεν ὀργὴν ποιουμένων, τῶν
indeed for revenge of-what they-suffered anger making the(-others)

δὲ πρὶν ἐμπεσόντες κακῶν τυχεῖν μεγάλων τιθεμένων τὸ
and before having-fallen-in evils to-obtain great thinking the
μεταχειρίσασθαι τὸν ἄνθρωπον.
to-take-in-hand the man

15 ὅθεν, ἐπειδὴ τοῖς τε ἁπάντων νόμοις καὶ τῷ ἀσφαλεῖ
whence since to-the both of-all laws and to-the safety
μεγάλην συνήνεγκεν εὐδαιμονίας ῥοπὴν ὁ θάνατος αὐτοῦ
great brought of-happiness turn the death his
ἔθνει τε τῷ ἡμετέρῳ οὐδὲ εἰς ὀλίγον ἐξεγεγόνει μὴ οὐκ
to-nation both the our not-even for little had-it-been-possible not not
ἀπολωλέναι μὴ ταχείας αὐτῷ τελευτῆς παραγενομένης,
to-have-perished if-not swift to-him end having-come
βούλομαι δι᾽ ἀκριβείας τὸν πάντα περὶ αὐτοῦ λόγον διελθεῖν,
I-wish with exactness the whole about him account to-go-through

16 ἄλλως τε ἐπειδὴ καὶ πολλὴν ἔχει πίστιν τοῦ θεοῦ τῆς
especially both since also great it-holds proof of-the god of-the
δυνάμεως καὶ παραμυθίαν τοῖς ἐν τύχαις κειμένοις καὶ
power and consolation to-those in fortunes lying and
σωφρονισμὸν τοῖς οἰομένοις ἀίδιον τὴν εὐτυχίαν, ἀλλὰ
sobering to-those thinking eternal the good-fortune but
μὴ ἐπιμεταφέρειν κακῶς ἀρετῆς αὐτῇ μὴ παραγενομένης.
not to-shift badly virtue to-it not being-present

17 Ὁδοὺς μὲν δὴ τρεῖς ὁ θάνατος αὐτοῦ παρεσκευάζετο
roads indeed indeed three the death his was-prepared
καὶ τούτων ἑκάστης ἄνδρες ἀγαθοὶ τὴν ἡγεμονίαν εἶχον.
and of-these each men good the leadership had
Αἰμίλιός τε γὰρ Ῥῆγλος ἐκ Κορδύβης τῆς ἐν Ἰβηρίᾳ
Aemilius both for Regulus from Corduba the in Iberia
γένος συνεῖχέν τινας ἢ δι᾽ ἐκείνων ἢ δι᾽ αὐτοῦ
by-race held-together some either through them or through himself
πρόθυμος ὢν ἄρασθαι Γάιον.
eager being to-remove Gaius

ἑτέρα δὲ αὐτοῖς συνεκροτεῖτο, ἧς Χαιρέας Κάσσιος 18
another and by-them was-organized of-which Chaerea Cassius
χιλίαρχος ἡγεμὼν ἦν. Μινουκιανὸς δὲ Ἄννιος οὐκ ὀλίγη
tribune leader was Minucianus and Annius not small
μοῖρα τῶν ἐπὶ τὴν τυραννίδα παρεσκευασμένων ἦν.
part of-those against the tyranny prepared was
αἰτία δ' αὐτοῖς μίσους τοῦ πρὸς Γάιον συνελθεῖν, Ῥήγλῳ 19
cause and for-them of-hatred of-the toward Gaius to-come-together for-Regulus
μὲν τὸ ἐπὶ πᾶσιν ὀργίλον καὶ μίσει χρώμενον πρὸς
indeed the at all-things wrathful and with-hatred dealing toward
τὰ μετ' ἀδικίας ἐξαγόμενα· καὶ γὰρ ἔχει τι θυμοειδὲς
the-things with injustice carried-out and for he-has something spirited
ἐν τῇ διανοίᾳ καὶ ἐλευθέριον, ὑφ' οὗ μηδὲ στέγειν
in the mind and free by which not-even to-keep-secret
προστίθεσθαι τῶν βουλευμάτων· πολλοῖς γοῦν ἀνεκοινώσατο
to-be-inclined of-the plans to-many at-least he-communicated-it
καὶ φίλοις καὶ ἄλλοις δοκοῦσιν αὐτῷ δραστηρίοις.
both friends and others seeming to-him active
Μινουκιανὸς δὲ τὰ μὲν Λεπίδου τε ἐκδικία, φίλον γὰρ 20
Minucianus and partly indeed of-Lepidus both by-vengeance friend for
αὐτῷ τὰ μάλιστα ὄντα τοῦτον καὶ τῶν πολιτῶν σὺν
to-him the most being this-one and of-the citizens with
ὀλίγοις ἀναιρεῖ Γάιος, καὶ ἄλλως φοβηθεὶς τὰ περὶ
few kills Gaius and otherwise having-feared the-things about
αὐτὸν διὰ τὸ πᾶσιν ὁμοίως τὸν Γάιον ἐπὶ θάνατον
himself because-of the to-all alike — Gaius for death
ἀνακειμένην ἐπαφιέναι τὴν ὀργὴν ἐπὶ τὴν ἐγχείρησιν ἐλθεῖν.
bent to-let-loose the anger to the attempt to-come
Χαιρέαν δὲ αἰσχύνην φέροντα ὀνείδη τε εἰς τὴν ἀνανδρίαν 21
Chaerea and disgrace bearing reproaches both for the cowardice
ὑπὸ τοῦ Γαΐου προφερομένου, καὶ ἄλλως τὸ ἐφ' ἡμέρᾳ
by — Gaius being-cast and otherwise the by day

κινδυνεύειν φιλίᾳ καὶ θεραπείᾳ τὴν Γαΐου τελευτὴν οὐ
to-be-in-danger by-friendship and service the of-Gaius death not
πάντ᾽ ἐλεύθερον ὑπολαμβάνων.
wholly free supposing

22 οἱ δὲ καὶ πᾶσι κοινῇ προτεθῆναι τὴν ἐπὶ τῷ πράγματι
they and also to-all in-common to-be-proposed the about the matter
σκέψιν τήν τε ὕβριν θεωμένοις καὶ ἐπιθυμοῦσιν ἀκμὴν ἐπ᾽
consideration the both outrage seeing and desiring prime upon
ἀλλήλων ἀκμάζουσαν διαφυγεῖν ἀραμένοις τὸν Γάιον· ἴσως
each-other flourishing to-escape having-removed — Gaius perhaps
μὲν γὰρ ἂν κατορθῶσαι, καλῶς δὲ κατορθοῦσι τηλικούτων
indeed for — to-succeed well and succeeding of-so-great
ἀγαθῶν σχεῖν ἐπὶ σωτηρίᾳ τῆς τε πόλεως καὶ τῆς ἡγεμονίας
goods to-have for safety of-the both city and of-the empire
πονοῦσι καὶ μετὰ ὀλέθρου ἅπτεσθαι τοῦ πράγματος.
toiling and with destruction to-touch the matter

23 παρὰ πάντα δὲ Χαιρέαν ἐπείγεσθαι ὀνόματός τε ἐπιθυμίᾳ
beyond all-things and Chaerea to-be-urged of-name both by-desire
μείζονος καὶ ἄλλως ὑπὸ τοῦ ἀδεέστερον προσιέναι τῷ Γαΐῳ
greater and otherwise by the more-fearlessly to-approach — to-Gaius
διὰ τὴν χιλιαρχίαν ῥᾳστώνης αὐτῷ κτείνειν ἐσομένης.
because-of the tribunate of-ease for-him to-kill going-to-be

24 Ἐν τούτῳ δ᾽ ἱπποδρομίαι ἦσαν· καὶ σπουδάζεται γὰρ
in this and horse-races were and is-zealously-pursued for
Ῥωμαίοις ἥδε ἡ θεωρία δεινῶς, συνίασίν τε προθύμως
by-Romans this the spectacle terribly they-come-together both eagerly
εἰς τὸν ἱππόδρομον καὶ ἐφ᾽ οἷς χρήζοιεν δέονται
into the hippodrome and for what they-may-need ask
τῶν αὐτοκρατόρων κατὰ πλῆθος συνελθόντες, οἱ δὲ
of-the emperors in multitude having-come-together they and
ἀναντιλέκτους τὰς δεήσεις κρίνοντες οὐδαμῶς ἀχαριστοῦσιν.
unanswerable the requests judging in-no-way are-ungracious

ἐκέλευον δὴ καὶ τὸν Γάιον ἐκθύμῳ τῇ ἱκετείᾳ χρώμενοι 25
they-bade indeed also — Gaius with-passionate the supplication using
τῶν τε τελῶν ἐπανιέναι καὶ τῶν φόρων ἐπικουφίζειν τι
of-the both dues to-relax and of-the tributes to-lighten some
τοῦ ἐπαχθοῦς. ὁ δ' οὐκ ἠνείχετο, καὶ πλέον τι τῇ βοῇ
of-the burden he but not endured and more something with-the shout
χρωμένων ἄλλους ἄλλῃ διαπέμψας κελεύει τοὺς βοῶντας
using others elsewhere having-sent orders those shouting
λαβεῖν τε καὶ μηδὲν εἰς ἀναβολὰς ἀνελεῖν προαγαγόντας.
to-seize both and nothing for delays to-kill having-led-forth

II · THE GRIEVANCES OF CHAEREA

Gaius' men kill the shouters at the races, and the people fall silent. Chaerea, an old soldier set to collect taxes, is slow and merciful, and Gaius mocks him as effeminate, giving him obscene watchwords that make him a laughingstock. When the actress Quintilia, called as a witness against the senator Pompedius, refuses to testify falsely, Chaerea is ordered to torture her; she bears it without betraying anyone, and Gaius, moved by her mangled body, releases her with a gift. Stung, Chaerea tells the prefect Clemens and the tribune Papinius that they are Gaius' executioners, and Clemens, though he praises the design, urges silence. Chaerea then approaches Cornelius Sabinus.

καὶ ὁ μὲν ἐκέλευε ταῦτα καὶ οἷς προσετέτακτο 26
and he indeed ordered these-things and those-to-whom it-had-been-assigned
ἔπρασσον, πλεῖστοί τε ἦσαν οἱ ἐπὶ τοιούτοις ἀποθανόντες.
did very-many both were those for such-things having-died
καὶ ὁ δῆμος ἑώρα μέν, ἠνείχετο δὲ παυσάμενος τῆς
and the people saw indeed endured but having-ceased from-the
βοῆς, ἐν ὀλίγῳ ἕνεκα τῶν χρημάτων ὀφθαλμοῖς ὁρῶντες
shout in little for-the-sake of-the money with-eyes seeing
τὴν ἐπὶ τοιούτοις παραίτησιν εἰς θάνατον αὐτοῖς φέρουσαν.
the for such-things begging-off to death for-them bringing

27 ταῦτα Χαιρέαν ἐνήγαγεν μειζόνως ἅπτεσθαί τε τῆς
these-things Chaerea induced more-greatly to-take-hold both of-the
ἐπιβουλῆς καὶ παύειν κατὰ τῶν ἀνθρώπων ἐξηγριωκότα
plot and to-stop against the men having-grown-savage
τὸν Γάιον, καὶ πολλάκις μὲν καὶ παρὰ τὰς ἑστιάσεις
— Gaius and often indeed even at the banquets
ἐμέλλησεν ἐπιχειρεῖν, οὐ μὴν ἀλλ' ἐπείχετο λογισμῷ, τὸ
he-was-about to-attempt not indeed but he-was-held-back by-reasoning the
μὲν κτείνειν οὐκέτ' ἐνδοιαστὸν κεκρικώς, τὸν δὲ καιρὸν
indeed to-kill no-longer doubtful having-judged the but occasion
περισκοπῶν, ὅπως μὴ εἰς κενόν, ἀλλ' ἐπὶ καταπράξει
looking-around-for how not in vain but for accomplishment
τῶν βεβουλευμένων ταῖς χερσὶ χρῷτο.
of-the-things planned the hands he-might-use
28 Ἐστρατεύετο δὲ πολὺν ἤδη χρόνον οὐχ ἡδονῇ φέρων
he-had-served and long already time not with-pleasure bearing
Γαΐου τὴν ἀναστροφήν. ἐπεὶ δὲ αὐτὸν ἵσταται Γάιος
of-Gaius the conduct when and him appoints Gaius
εἰσπραξόμενον τούς τε φόρους καὶ ὅσα ἄλλα
going-to-exact the both tributes and as-many-as other-things
καταβαλλόμενα εἰς τὸν Καίσαρος θησαυρὸν ἐφυστερήκει
paid into the of-Caesar treasury had-fallen-behind
τοῖς καιροῖς διὰ τὸ ἐπιδιπλασιάζεσθαι τὴν δύναμιν
the seasons because-of the to-be-doubled the amount
αὐτῶν, χρόνον ἐκεῖ ποιεῖται τῇ εἰσπράξει τρόπῳ τῷ
of-them time there makes in-the exaction manner the
αὐτοῦ χρώμενος μᾶλλον ἢ τῇ Γαΐου προστάξει,
his-own using rather than the of-Gaius order
29 διὰ τὸ φειδοῖ χρῆσθαι τὰς τύχας οἴκτῳ λαμβάνων
because-of the with-sparing to-deal the fortunes with-pity taking
τῶν ὑπὸ τὴν εἴσπραξιν εἰς ὀργὴν προυκαλεῖτο τὸν Γάιον
of-those under the exaction to anger he-provoked — Gaius

μαλακίαν ἐπικαλοῦντα αὐτῷ τοῦ σχολῇ συνάγεσθαι αὐτῷ
softness charging him of-the slowly to-be-collected for-him
τὰ χρήματα. καὶ δὴ τά τε ἄλλα ὕβριζεν εἰς αὐτὸν
the money and indeed the both other-things he-insulted against him
καὶ ὁπότε τὸ σημεῖον αὐτῷ τὸ τῆς ἡμέρας καθηκούσης
and whenever the watchword to-him the of-the day falling
εἰς αὐτόν, θήλεά τε ἐδίδου τὰ ὀνόματα,
to him female both he-gave the names
καὶ ταῦτα αἰσχύνης ἀνάπλεα καὶ ταῦτα ἔπρασσεν αὐτὸς 30
and these-things of-shame full and these-things did himself
οὐκ ἀπηλλαγμένος ἔν τινων τελεταῖς μυστηρίων, ἃς
not free in of-some rites of-mysteries which
αὐτὸς συνίστατο, στολάς τε ἐνδυόμενος γυναικείους καί
himself established robes both putting-on women's and
τινων περιθέσεις πλοκαμίδων ἐπινοῶν ἄλλα τε ὁπόσα
of-some puttings-on of-wigs devising others both as-many-as
ἐπικαταψεύσασθαι θηλύτητα τῆς ὄψεως ἔμελλεν, αὐτὸς
to-counterfeit effeminacy of-the appearance were-going himself
τὴν ἐπὶ τοιούτοις αἰσχύνην ἐτόλμα Χαιρέᾳ προσκαλεῖν.
the for such-things shame dared to-Chaerea to-impute
Χαιρέᾳ δὲ καὶ ὁπότε μὲν παραλαμβάνοι τὸ σημεῖον ὀργὴ 31
to-Chaerea and also whenever indeed he-received the watchword anger
παρίστατο, μειζόνως δ' ὁπότε παραδιδοίη, γελώμενος
came more-greatly but whenever he-handed-it-on laughed-at
ὑπὸ τῶν παραλαμβανόντων, ὥστε καὶ οἱ συγχιλίαρχοι
by those receiving so-that even the fellow-tribunes
παιδιὰν ἐποιοῦντο αὐτόν· ὁπότε γὰρ αὐτὸς μέλλοι τὸ
sport made him whenever for he was-going the
σημεῖον παρ' αὐτοῦ Καίσαρος κομίζειν, προύλεγόν τινα
watchword from himself Caesar to-bring they-foretold some
τῶν εἰωθότων φέρειν εἰς παιδιάν.
of-the usual to-bring for sport

διὰ ταῦτα δὲ αὐτῷ καὶ θάρσος παρίστατο κοινωνούς
because-of these-things and to-him also courage came partners
τινας παραλαμβάνειν, ὡς οὐκ ἐπ᾽ ὀλίγοις ὀργῇ χρώμενος.
some to-take-on as not over few anger feeling
καὶ ἦν γὰρ Πομπήδιος συγκλητικὸς μέν, τὰς ἀρχὰς δὲ
and was for Pompedius senator indeed the offices but
διεληλυθὼς σχεδὸν ἁπάσας, Ἐπικούρειος δ᾽ ἄλλως καὶ
having-gone-through nearly all Epicurean but otherwise and
δι᾽ αὐτὸ ἀπράγμονος ἐπιτηδευτὴς βίου.
through it of-untroubled practitioner life

33 τοῦτον ἐνδείκνυσιν Τιμίδιος ἐχθρὸς ὢν ὡς λοιδορίᾳ
this-one informs-on Timidius enemy being as abuse
χρησάμενον ἀπρεπεῖ κατὰ τοῦ Γαΐου μάρτυρα
having-used unseemly against — Gaius witness
παραλαμβάνων Κυιντιλίαν γυναῖκα τῶν ἐπὶ τῆς σκηνῆς
taking Quintilia woman of-those on the stage
ἐπιφανείᾳ τοῦ ὡραίου περισπούδαστον πολλοῖς τε οὖσαν
for-distinction of-the beauty much-sought-after by-many both being
καὶ τῷ Πομπηδίῳ.
and — by-Pompedius

34 καὶ τῆς ἀνθρώπου, ψεῦδος γὰρ ἦν, δεινὸν ἡγουμένης
and the woman false for it-was terrible thinking
μαρτυρίαν ἐπὶ θανάτῳ τοῦ ἐραστοῦ παρασχεῖν, βασάνων
testimony for death of-the lover to-provide of-tortures
ἔχρῃζεν ὁ Τιμίδιος, καὶ Γάιος παρωξυμμένος κελεύει τὸν
had-need — Timidius and Gaius exasperated orders —
Χαιρέαν μηδὲν εἰς ἀναβολὰς ἀλλ᾽ εὐθέως βασανίζειν τὴν
Chaerea nothing for delays but at-once to-torture —
Κυιντιλίαν, χρώμενος τῷ Χαιρέᾳ πρός τε τὰ φονικὰ
Quintilia using — Chaerea for both the murderous-things

καὶ ὁπόσα στρεβλώσεως δέοιτο ὑπὸ τοῦ νομίζειν ὠμότερον
and as-many-as of-racking might-need by the to-think more-savagely
διακονήσεσθαι τὴν λοιδορίαν φεύγοντα τῆς μαλακίας.
to-be-going-to-serve the reproach escaping of-the softness
Κυιντιλία δ' ἐπὶ τὴν βάσανον ἀγομένη τῶν συνιστόρων τινὸς 35
Quintilia but to the torture being-led of-the fellow-conspirators someone
ἐπιβαίνει τῷ ποδὶ ἀποσημαίνουσα θαρσεῖν καὶ μὴ τὰς
treads-on with-the foot signaling to-be-bold and not the
βασάνους αὐτῆς δεδιέναι· διοίσειν γὰρ μετ' ἀνδραγαθίας.
tortures her to-fear she-would-bear-it for with bravery
βασανίζει δ' αὐτὴν ὠμῶς ὁ Χαιρέας, ἄκων μέν, κατ'
tortures and her savagely — Chaerea unwilling indeed by
ἀνάγκας δὲ τὰς ὑπὲρ αὐτοῦ, καὶ μηδὲν ἐνδοῦσαν ἦγεν εἰς
necessities but the for himself and nothing having-yielded he-led into
τὴν ὄψιν τὴν Γαΐου διακειμένην οὐκ ἐν ἡδονῇ τοῖς θεωροῦσι.
the sight the of-Gaius being-disposed not in pleasure to-those seeing
καὶ ὁ Γάιος παθών τι πρὸς τὴν ὄψιν τῆς Κυιντιλίας 36
and — Gaius having-felt something at the sight — of-Quintilia
δεινῶς ὑπὸ τῶν ἀλγηδόνων διακειμένης τοῦ τε ἐγκλήματος
terribly by the pains disposed of-the both charge
ἠφίει καὶ αὐτὴν καὶ τὸν Πομπήδιον, ἐκείνην δὲ καὶ
released both her and — Pompedius her and also
χρημάτων δόσει τιμᾷ παραμυθίας ἐσομένων λώβης τε
of-money with-gift honors consolation going-to-be of-maiming both
ἣν ἐλελώβητο εἰς τὴν εὐπρέπειαν τοῦ ἀφορήτου τῶν
which she-had-been-maimed in the comeliness of-the unbearableness of-the
ἀλγηδόνων.
pains
Ταῦτα δεινῶς ἠνίασεν τὸν Χαιρέαν ὡς αἴτιον ἀνθρώποις 37
these-things terribly grieved — Chaerea as cause to-men
καὶ ὑπὸ Γαΐου παρηγορίας ἀξίοις ἐν αἰτίᾳ κακῶν τὸ
even by Gaius of-consolation worthy in charge of-evils the

ὅσον ἐπ᾽ αὐτοῖς γεγενημένοις, φησίν τε πρὸς Κλήμεντά
as-much-as in them having-become he-says both to Clemens
τε καὶ Παπίνιον, ὧν Κλήμης μὲν ἦν ἐπὶ τῶν
both and Papinius of-whom Clemens indeed was over the
στρατοπέδων, Παπίνιος δὲ καὶ αὐτὸς ἦν χιλιαρχῶν,
camps Papinius and also himself was being-tribune
38 "ἀλλ᾽ ἐπὶ φυλακῇ γε, ὦ Κλήμης, τὰ πάντα τοῦ
but in guarding indeed O Clemens the all-things of-the
αὐτοκράτορος ἡμῖν πράσσειν οὐκ ἐλλέλειπται· τῶν γὰρ
emperor for-us to-do not has-been-left-undone of-the for
συνομωμοκότων αὐτοῦ κατὰ τῆς ἡγεμονίας προνοίᾳ καὶ
having-conspired his against the empire by-forethought and
πόνοις τοὺς μὲν ἀπεκτείναμεν, τοὺς δὲ ἐστρεβλώσαμεν
toils the(-ones) indeed we-killed the(-others) and we-racked
ἐπὶ τοσοῦτον, ὡς ἐλεεινοὺς κἀκείνῳ γενέσθαι, μετὰ
to such-a-degree as pitiable even-to-that-one to-become with
πόσης τε ἀρετῆς ἡμῖν ἐξάγεται τῶν στρατιῶν;"
how-much both virtue by-us is-carried-out of-the armies
39 σιγήσαντος δὲ τοῦ Κλήμεντος καὶ τὸ μὲν αἰσχύνῃ φέρειν
having-been-silent and — Clemens and the indeed with-shame to-bear
τὰ προστασσόμενα καὶ τῷ βλέμματι καὶ τῷ
the-things ordered both with-the look and with-the
ἐρυθήματι παριστάντος, λόγῳ δὲ αὐτοῖς τὴν μανίαν τοῦ
blush showing in-word but to-them the madness of-the
αὐτοκράτορος προσκαλεῖν ἄδικον ἡγουμένου προνοίᾳ τοῦ
emperor to-impute unjust thinking by-forethought of-the
ἀσφαλοῦς,
safe
40 Χαιρέας ἤδη θάρσει χρώμενος ἐν λόγοις ἦν κινδύνων
Chaerea already with-courage dealing in words was from-dangers
ἀνειμένοις πρὸς αὐτὸν τὰ κατέχοντα δεινὰ τὴν πόλιν καὶ
released to him the prevailing terrors the city and

τὴν ἀρχὴν ἐπεξιών, καὶ ὅτι λόγῳ μὲν εἴη Γάιος ὁ
the empire going-through and that in-word indeed was Gaius the(-one)
τὴν ἐπὶ τοιούτοις αἰτίαν προτιθέμενος,
the for such-things blame setting-forth
τοῖς δὲ τἀληθὲς ἐξετάζειν πειρωμένοις ἐγώ τε, ὦ Κλήμης, 41
to-those but the-truth to-examine trying I both O Clemens
καὶ οὑτοσὶ ὁ Παπίνιος καὶ πρὸ ἡμῶν σύ, ταύτας
and this-here — Papinius and before us you these
Ῥωμαίοις τε καὶ τῷ παντὶ ἀνθρωπείῳ τὰς στρέβλας
on-Romans both and on-the all human-kind the rackings
προσφερόμενοι, οὐκ ἐπιτάγμασιν τοῖς Γαΐου διακονούμενοι,
bringing not to-orders the of-Gaius ministering
γνώμῃ δὲ τῇ αὐτῶν,
by-judgment but the our-own
εἰ παρὸν παῦσαι τοσαύτῃ ἤδη χρώμενον ὕβρει εἴς τε 42
if being-possible to-stop so-great already using insolence toward both
τοὺς πολίτας καὶ τοὺς ὑπηκόους διακονούμεθα, δορυφόροι
the citizens and the subjects we-minister bodyguards
καὶ δήμιοι καθεστηκότες ἀντὶ στρατιωτῶν καὶ τὰ
and executioners having-been-made instead-of soldiers and the
ὅπλα ταυτὶ φέροντες οὐχ ὑπὲρ ἐλευθερίας οὐδ' ἀρχῆς τῶν
arms these bearing not for freedom nor empire of-the
Ῥωμαίων, ἀλλ' ἐπὶ σωτηρίᾳ τοῦ δουλουμένου τά τε
Romans but for safety of-the(-one) enslaving the both
σώματα αὐτῶν καὶ τὰ φρονήματα, μιαινόμενοι τῷ καθ'
bodies of-them and the minds being-defiled with-the by
ἡμέραν αἵματι σφαγῆς καὶ βασάνου τῆς ἐκείνων, μέχρι
day blood of-slaughter and of-torture the of-theirs until
δή τις καὶ καθ' ἡμῶν διακονήσεται τοιαῦτα Γαΐῳ.
indeed someone also against us will-minister such-things for-Gaius

43 οὐ γὰρ εὐνοίᾳ γε πολιτεύσει διὰ τάδε πρὸς ἡμᾶς,
not for with-goodwill at-least he-will-behave because-of these-things toward us
δι᾽ ὑφοράσεως δὲ μᾶλλον καὶ ἄλλως τοῦ πολλοῦ τῶν
through suspicion but rather and otherwise of-the most of-those
ἀπολλυμένων ἀποδεδωκότος· οὐ γὰρ δὴ στήσεταί ποτε
perishing having-paid not for indeed will-stand ever
Γαΐῳ τὰ τῆς ὀργῆς διὰ τὸ μὴ δίκην ἀλλ᾽ ἡδονὴν
for-Gaius the-things of-the anger because-of the not justice but pleasure
πέρας αὐτῆς τυγχάνειν· σκοποὶ δὲ προσκεισόμεθα καὐτοί,
end of-it to-be marks but we-shall-be-set-up also-ourselves
δέον καὶ τοῖς πᾶσιν τὸ ἀνεπιβούλευτόν τε καὶ ἐλεύθερον
it-being-needful also to-the all the free-from-plots both and free
βεβαιοῦν καὶ ἡμῖν κινδύνων ἀπαλλαγὰς ψηφίσασθαι.
to-secure and for-us of-dangers releases to-vote
44 Κλήμης δὲ τὴν μὲν διάνοιαν τὴν Χαιρέου φανερὸς
Clemens and the indeed intention the of-Chaerea plain
ἦν ἐπαινῶν, σιγᾶν δ᾽ ἐκέλευε, μὴ καὶ φοιτῶντος εἰς
was praising to-be-silent but he-bade lest also spreading to
πλείονας τοῦ λόγου καὶ διαχεομένων ὁπόσα κρύπτεσθαι
more the word and divulged as-many-as to-be-hidden
καλῶς ἔχοι πρὶν τυχεῖν πράξαντας ἐκπύστου τοῦ
well might-be before to-succeed having-done disclosed the
ἐπιβουλεύματος γενομένου κολασθεῖεν, χρόνῳ δὲ τῷ αὖθις
plot having-become they-be-punished to-time but the later
καὶ τῇ ἀπ᾽ αὐτοῦ ἐλπίδι παραδιδόναι τὰ πάντα ὡς
and to-the from it hope to-hand-over the all-things as
παραγενησομένης τινὸς αὐτοῖς ἐπικουρίας τυχαίου·
going-to-come some to-them help chance
45 "αὐτὸν μὲν γὰρ ὑπὸ γήρως ἀφῃρῆσθαι τὴν ἐπὶ
himself indeed for by old-age to-have-been-deprived-of the for
τοιοῖσδε τόλμαν, τῶν μέντοι γε ὑπὸ σοῦ, Χαιρέα,
such-things daring of-the however indeed by you Chaerea

συντεθέντων τε καὶ ῥηθέντων ἀσφαλέστερα μὲν ἴσως ἂν
composed both and said safer indeed perhaps —
ὑποθοίμην, εὐπρεπέστερα δὲ πῶς ἄν τις καὶ δύναιτο;"
I-might-suggest more-seemly but how — anyone even could
καὶ Κλήμης μὲν ὡς αὑτὸν ἀναλύει διὰ λογισμῶν τῶν 46
and Clemens indeed to himself goes-back through reasonings of-the-things
τε ἀκροαθέντων καὶ ὁπόσων αὐτὸς εἰρήκει περιφερόμενος.
both heard and of-as-many-as himself had-said being-carried-around
Χαιρέας δὲ δείσας ὡς Κορνήλιον Σαβῖνον ἠπείγετο
Chaerea and having-feared to Cornelius Sabinus hastened
καὶ αὐτὸν μὲν χιλίαρχον ὄντα, ἀξιόλογον δ' ἄλλως
and him indeed tribune being notable and otherwise
ἐξεπιστάμενος αὐτὸν καὶ τοῦ ἐλευθέρου ἐραστὴν καὶ δι'
knowing-well him also of-the freedom lover and because-of
αὐτὸ τῇ καταστάσει τῶν πραγμάτων πολεμίως διακείμενον,
it to-the condition of-the affairs hostilely disposed
χρήζων ἐκ τοῦ ὀξέος ἔχεσθαι τῶν ἐγνωσμένων τῆς 47
needing at the sharp to-hold-to of-the-things decided of-the
ἐγχειρήσεως ὑπ' αὐτοῦ καλὰ νομίσας εἶναι προσθέσθαι
attempt by him good having-thought to-be to-add
καὶ δέει, μὴ ὑπὸ Κλήμεντος ἐκφοίτησις γένοιτο αὐτῶν,
and by-fear lest by Clemens divulging might-happen of-them
ἄλλως τε τὰς μελλήσεις καὶ τῶν καιρῶν τὰς ὑπερβολὰς
especially both the delays and of-the seasons the postponements
πρὸς τῶν ὑπερβαλλομένων τιθέμενος.
for those putting-off reckoning

Sabinus agrees at once, and the two go to Minucianus, whose friend Lepidus had been killed by Gaius. Minucianus asks Chaerea what watchword he received that day; Chaerea, delighted, says that Minucianus gives him the watchword of freedom and that one sword will serve them both. Entering the senate house, Chaerea hears a voice from the crowd urging him on. Many senators, knights, and soldiers join, and Callistus, Gaius' powerful freedman, secretly courts Claudius. Chaerea chafes at every delay, seeing chances at the Capitol, at the basilica, and at the mysteries, but the others urge him to wait for the Palatine games held in honor of the Caesar who first took the rule from the people for himself, when the crowded theater will make the deed easy.

48 Ἐπεὶ δὲ ἀσμένῳ καὶ τῷ Σαβίνῳ τὰ πάντα ἦν, ἅτε
when and welcome also — to-Sabinus the all-things were since
καὶ αὐτῷ γνώμης μὲν οὐχ ὑστεροῦντι τῆς ἴσης, ἀπορίᾳ
also to-him of-judgment indeed not falling-short of-the equal by-perplexity
δὲ πρὸς ὅντινα εἰπὼν ἀσφαλὴς εἴη τὰ πρὸς
but as-to whom having-spoken safe he-might-be the-things to
ἐκείνους σιγῇ παραδιδόντος, ἐπεί τε ἀνδρὸς ηὐπόρητο
them in-silence handing-over since both of-man he-had-found
οὐ μόνον στέγειν ὧν πύθοιτο προσθησομένου, ἀλλὰ καὶ
not only to-keep-secret what he-might-learn going-to-assent but also
γνώμην φανεροῦντος τὴν αὐτοῦ, πολλῷ μᾶλλον ἦρτο,
judgment declaring the his-own much more he-was-raised
καὶ μηδὲν εἰς ἀναβολὰς ἐδεῖτο τοῦ Χαιρέου.
and nothing for delays he-needed — of-Chaerea

49 τρέπονταί τε ὡς Μινουκιανόν, αὐτοῖς μὲν ἐπιτηδεύσει
they-turn both to Minucianus to-them indeed in-pursuit
ἀρετῆς καὶ τῷ ὁμοζήλῳ τοῦ μεγαλόφρονος συγγενῇ,
of-virtue and in-the emulation of-the high-mindedness kin
Γαΐῳ δ' ὕποπτον τῆς Λεπίδου τελευτῆς, πάνυ γὰρ δὴ
to-Gaius but suspect of-the of-Lepidus death very for indeed

φίλοι ἐγένοντο Μινουκιανός τε καὶ Λέπιδος, καὶ δείματι
friends had-become Minucianus both and Lepidus and by-fear
κινδύνων τῶν καθ᾽ αὑτόν.
of-dangers of-the against himself
πᾶσι γὰρ τοῖς ἐν τέλει φοβερὸς ἦν Γάιος, ὡς ἐπ᾽ 50
to-all for those in office fearsome was Gaius as against
αὐτὸν ἕκαστον καὶ πρὸς οὕστινας τῇ μανίᾳ χρῆσθαι μὴ
him each and toward whomever the madness to-use not
ἀφησόμενος,
going-to-desist
φανεροί τε ἀλλήλοις ἦσαν τῆς ἐπὶ πράγμασιν ἀχθηδόνος, 51
plain both to-each-other they-were of-the at affairs vexation
διασαφεῖν μὲν ἀλλήλοις ἄντικρυς τὴν διάνοιαν καὶ μῖσος
to-declare indeed to-each-other openly the intention and hatred
τὸ πρὸς Γάιον φόβῳ τε κινδύνων ἀφέμενοι ἄλλως τε
the toward Gaius by-fear both of-dangers refraining otherwise both
αἰσθανόμενοι τοῦ ἀλλήλων μίσους πρὸς τὸν Γάιον καὶ
perceiving of-the each-other's hatred toward — Gaius and
δι᾽ αὐτὸ εὐνοίᾳ χρῆσθαι τὰ πρὸς ἀλλήλους μὴ
because-of it with-goodwill to-deal the-things toward each-other not
ἀπηλλαγμένοι.
freed
Γενομένων δ᾽ αὐτοῖς ἀξιώσεων ἐπείπερ συνέβαλον, 52
having-happened and to-them of-greetings since they-met
εἰωθότες καὶ πρότερον ὁπότε συνέλθοιεν τίμιον ἡγεῖσθαι
accustomed also before whenever they-came-together honored to-think
τὸν Μινουκιανὸν ὑπεροχῇ τε ἀξιώματος, γενναιότατος
— Minucianus by-eminence both of-rank noblest
γὰρ ἦν τῶν πολιτῶν, καὶ τῷ ἐπὶ πᾶσιν ἐπαινουμένῳ,
for he-was of-the citizens and by-the in all-things being-praised

53 μᾶλλον ὡς ἅπτοιτό τινος λόγου φθάσαι κἀκεῖνος εἴ
rather that he-might-touch some word to-anticipate and-he if
ποτε Χαιρέαν, ὅ τι καὶ παραλάβοι σημεῖον τῆς ἡμέρας
ever Chaerea what ever also he-received watchword of-the day
ἐκείνης· ἀοίδιμος γὰρ διὰ τῆς πόλεως ἦν ἡ εἰς τὸν
that famous for through the city was the toward —
Χαιρέαν διὰ τῶν σημείων τῆς δόσεως πρασσομένη ὕβρις.
Chaerea through the watchwords of-the giving done outrage
54 ὁ δὲ χάρματι τοῦ λόγου μηδὲν μελλήσας ἠμείβετο
he and with-joy at-the word not-at-all having-delayed answered
τοῦ Μινουκιανοῦ τὸ ἐπὶ τοιοῖσδε πιστεῦσαν ὁμιλίᾳ
— of-Minucianus the in such-things having-trusted with-converse
χρήσασθαι πρὸς αὐτόν, καί "σύ μοι δίδως," εἶπεν,
to-use to him and you to-me give he-said
"σημεῖον ἐλευθερίας, χάρις δέ σοι τοῦ ἀνεγείραντός με
watchword of-freedom thanks and to-you for-the having-roused me
μειζόνως ἤπερ εἴωθα ἐμαυτὸν ὁρμᾶν,
more-greatly than I-am-wont myself to-urge
55 οὐδέν μοι χρεία πλειόνων ἔτι λόγων, οἵ με θαρσοῖεν,
nothing to-me need of-more still words which me might-embolden
εἰ δὴ καὶ σοὶ ταῦτα δοκεῖ, γνώμης τε τῆς αὐτῆς
if indeed also to-you these-things seem of-judgment both the same
κοινωνοὶ καὶ πρότερον ἢ συνελθεῖν γεγόναμεν. καὶ ἓν
partners even before than to-meet we-have-become and one
μὲν ὑπέζωμαι ξίφος, ἀμφοῖν δ' ἂν ἀρκέσειεν.
indeed I-have-girded-on sword for-both and — it-would-suffice
56 ὥστε ἴθι καὶ ἔργων ἐχώμεθα, ἡγεμών τ' ἴσθι, ᾗ
so come and to-deeds let-us-hold leader and be where
βούλοιο αὐτὸς κελεύων με χωρεῖν, ᾗ καὶ προσοίσομαι,
you-might-wish yourself ordering me to-go where also I-shall-apply-myself
ἐπικουρίᾳ τῇ σῇ συμπράσσοντος τε πίσυνος. οὐδὲ ἀπορία
in-help the yours cooperating both trusting nor lack

σιδήρου τοῖς τὴν ψυχὴν εἰς τὰ ἔργα προσφερομένοις,
of-iron for-those the soul to the deeds bringing
δι᾽ ἣν καὶ ὁ σίδηρος δραστήριος εἴωθεν εἶναι.
because-of which also the iron effective is-wont to-be
ὥρμηκά τε εἰς τὴν πρᾶξιν οὐχ ὧν ἂν αὐτὸς πάθοιμι 57
I-have-set-out both for the action not of-what — myself I-might-suffer
ἐλπίδι περιφερόμενος· οὐ γὰρ σχολὴ κινδύνους μοι κατανοεῖν
by-hope being-carried-about not for leisure dangers for-me to-consider
τοὺς ἐμαυτοῦ δουλώσει τε πατρίδος ἐλευθερωτάτης
the my-own at-the-enslavement both of-fatherland most-free
ἐπαλγοῦντι τῶν νόμων τῆς ἀρετῆς ἀφῃρημένης τούς τε
grieving of-the laws of-the virtue having-been-deprived the both
πάντας ἀνθρώπους ὀλέθρου διὰ Γάιον κατειληφότος.
all men destruction because-of Gaius having-seized
ἄξιος δ᾽ ἂν εἴην παρὰ σοὶ δικαστῇ πίστεως ἐπὶ 58
worthy and — I-would-be with you judge of-trust in
τοιούτοις τυγχάνειν ὑπὸ τοῦ ὅμοια φρονεῖν αὐτοῖς καὶ σὲ
such-things to-obtain by the alike to-think to-them and you
μὴ ἀπηλλάχθαι.”
not to-have-been-freed
Μινουκιανὸς δὲ τὴν ὁρμὴν τῶν λόγων θεασάμενος ἠσπάζετό 59
Minucianus and the impulse of-the words having-beheld embraced
τε ἀσμένως καὶ προσπαρίστατο τὴν τόλμαν αὐτοῦ ἐπαινέσας
both gladly and stood-by-him the daring his having-praised
τε καὶ ἀσπασάμενος μετ᾽ εὐχῶν καὶ ἱκετείας ἀπελύοντο.
both and having-embraced with prayers and supplication they-parted
καὶ ἰσχυρίζοντό τινες ὡς βεβαιοῦν τὰ εἰρημένα εἰσιόντος 60
and affirmed some as to-confirm the-things said entering
γὰρ εἰς τὸ βουλευτήριον Χαιρέου φωνὴν ἐκ τοῦ πλήθους
for into the senate-house Chaerea voice from the multitude

γενέσθαι τινὸς ἐπ᾽ ἐξορμήσει κελεύοντος περαίνειν μὲν
to-have-come of-someone for urging bidding to-accomplish indeed
δὴ τὸ πρακτέον καὶ προσλαμβάνειν τὸ δαιμόνιον.
indeed the-thing to-be-done and to-take-on the divinity
παρέδωκεν δεθησόμενον εἰς τὴν ἐκείνου πατρίδα πέμψας.
handed-him-over going-to-be-bound to the his fatherland having-sent
χρόνῳ δὲ τὸν θυμὸν ἠμβλύνθη καὶ λογισμοῖς εἰλικρινέσι 321
in-time and in-the anger he-was-dulled and to-reasonings pure
τὴν περὶ τἀνδρὸς κρίσιν ἐφῆκεν ἐν νῷ λαμβάνων
the about the-man judgment he-submitted in mind taking
ὅσους ὑπὲρ ἐκείνου πόνους ἐκεῖνος ἀνέτλη. ἡμέραν οὖν
how-many for that-one toils that-one endured day then
ἑορτάζων αὐτοῦ γενέθλιον, ὅτε πᾶσιν ὧν ἦρχεν εὐφροσύνη
celebrating his birthday when for-all whom he-ruled gladness
ἦ καθίσταντο θαλίαι, τὸν Σίλαν ἀνεκάλει παραυτίκα
in-which were-appointed festivities — Silas he-recalled at-once
συνέστιον αὐτῷ γενησόμενον.
fellow-diner to-him going-to-be
τῷ δέ, τρόπος γὰρ ἐλευθέριος ἦν, ἐδόκει προσειληφέναι 322
to-him but manner for free was seemed to-have-received
δικαίαν αἰτίαν ὀργῆς, ἣν οὐκ ἀπεκρύπτετο πρὸς τοὺς
just cause of-anger which not he-hid toward those
μετιόντας αὐτὸν λέγων·
going-after him saying
“ἐπὶ ποίαν ὁ βασιλεὺς τιμὴν ἀνακαλεῖ με τὴν μετὰ 323
to what-kind-of the king honor recalls me the after
μικρὸν ἀπολουμένην; οὐδὲ γὰρ τὰ πρῶτά μοι γέρα τῆς
little going-to-perish not-even for the first to-me gifts of-the
εἰς αὐτὸν εὐνοίας ἐτήρησεν, ἀπεσύλησεν δ’ ὑβρίσας.
toward him goodwill he-kept he-stripped-off and having-outraged
ἢ πεπαῦσθαι νενόμικέ με τῆς παρρησίας, ἣν ἀπὸ 324
or to-have-ceased has-he-thought me from-the frankness which from
ποίου συνειδότος ἔχων βοήσομαι μᾶλλον, ὅσων
what-sort-of conscience having I-shall-cry-out more from-how-many

αὐτὸν ἐξελυσάμην δεινῶν, ὅσους ἤνεγκα πόνους ἐκείνῳ
him I-released terrors how-many I-bore toils for-that-one
ποριζόμενος σωτηρίαν τε καὶ τιμήν, ὧν γέρας ἠνεγκάμην
providing safety both and honor of-which reward I-carried-off
δεσμὰ καὶ σκότιον εἱρκτήν.
bonds and dark prison
325 οὐκ ἐγώ ποτε τούτων λήσομαι· τάχα μοι τὴν τῆς ἀριστείας
not I ever these-things shall-forget perhaps to-me the of-the valor
συνεποίσεται μνήμην καὶ μεταστᾶσα τῆς σαρκὸς ἡ
will-carry-along memory even having-departed from-the flesh the
ψυχή." ταῦτα ἀνεβόα καὶ διετάττετο τῷ βασιλεῖ λέγειν. ὁ
soul these-things he-shouted and charged to-the king to-say he
δ' ὡς ἀνιάτως ἑώρα διακείμενον, πάλιν εἴασεν ἐν φρουρᾷ.
and when incurably he-saw disposed again left-him in guard
326 Τὰ δὲ τῶν Ἱεροσολύμων τείχη τὰ πρὸς τὴν καινὴν
the and — of-Jerusalem walls those toward the new
νεύοντα πόλιν δημοσίαις ὠχύρου δαπάναις, τῇ μὲν
facing city with-public he-fortified expenses partly indeed
εὐρύνων εἰς πλάτος τῇ δὲ εἰς ὕψος ἐξαίρων, κἂν
widening to breadth partly and to height raising and-would
ἐξειργάσατο ταῦτα πάσης ἀνθρωπίνης κρείττονα βίας,
he-had-completed these-things than-all human stronger force
εἰ μὴ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν Κλαυδίῳ Καίσαρι
if not Marsus the — of-Syria governor to-Claudius Caesar
διὰ γραμμάτων ἐδήλωσε τὸ πραττόμενον.
through letters showed the-thing being-done
327 καὶ νεωτερισμόν τινα Κλαύδιος ὑποπτεύσας ἐπέστειλεν
and revolution some Claudius having-suspected wrote
Ἀγρίππᾳ μετὰ σπουδῆς παύσασθαι τῆς τῶν τειχῶν
to-Agrippa with haste to-cease from-the of-the walls
ἐξοικοδομήσεως· ὁ δ' ἀπειθεῖν οὐκ ἔκρινεν.
building he and to-disobey not judged

Ἐπεφύκει δ᾽ ὁ βασιλεὺς οὗτος εὐεργετικὸς εἶναι ἐν δωρεαῖς 328
was-by-nature and the king this beneficent to-be in gifts
καὶ μεγαλοφρονῆσαι ἔθνη φιλότιμος καὶ πολλοῖς ἀθρόως
and to-show-magnificence nations ambitious and by-many at-once
δαπανήμασιν ἀνιστὰς αὑτὸν εἰς ἐπιφάνειαν ἡδόμενος τῷ
expenditures raising himself to distinction delighting in-the
χαρίζεσθαι καὶ τῷ βιοῦν ἐν εὐφημίᾳ χαίρων, κατ᾽ οὐδὲν
to-do-favors and in-the to-live in good-repute rejoicing in nothing
Ἡρώδῃ τῷ πρὸ ἑαυτοῦ βασιλεῖ τὸν τρόπον συμφερόμενος·
with-Herod the before himself king the manner agreeing
ἐκείνῳ γὰρ πονηρὸν ἦν ἦθος ἐπὶ τιμωρίαν ἀπότομον καὶ 329
to-that-one for wicked was character to punishment harsh and
κατὰ τῶν ἀπηχθημένων ἀταμίευτον, Ἕλλησι πλέον ἢ
against the hated unsparing to-Greeks more than
Ἰουδαίοις οἰκείως ἔχειν ὁμολογούμενος· ἀλλοφύλων γέ
to-Jews intimately to-be-disposed acknowledged of-foreigners indeed
τοι πόλεις ἐσέμνυνεν δόσει χρημάτων βαλανείων θεάτρων
you-know cities he-glorified by-gift of-money of-baths of-theaters
τε ἄλλοτε κατασκευαῖς, ἔστιν αἷς ναοὺς ἀνέστησε,
both at-other-times by-constructions there-are to-which temples he-raised
στοὰς ἄλλαις, ἀλλὰ Ἰουδαίων οὐδεμίαν πόλιν οὐδ᾽ ὀλίγης
colonnades to-others but of-Jews no city not-even of-small
ἐπισκευῆς ἠξίωσεν οὐδὲ δόσεως ἀξίας μνημονευθῆναι.
repair he-deemed-worthy nor gift worthy to-be-remembered
πραΰς δ᾽ ὁ τρόπος Ἀγρίππᾳ καὶ πρὸς πάντας τὸ 330
gentle and the manner for-Agrippa and toward all the
εὐεργετικὸν ὅμοιον. τοῖς ἀλλοεθνέσιν ἦν φιλάνθρωπος
beneficence alike to-the foreigners he-was kindly
κἀκείνοις ἐνδεικνύμενος τὸ φιλόδωρον τοῖς ὁμοφύλοις
also-to-them showing the generosity to-the fellow-tribesmen
ἀναλόγως χρηστὸς καὶ συμπαθὴς μᾶλλον.
proportionately kind and sympathetic more

331 ἡδεῖα γοῦν αὐτῷ δίαιτα καὶ συνεχὴς ἐν τοῖς Ἱεροσολύμοις
pleasant at-least to-him living and continual in — Jerusalem
ἦν καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. διὰ πάσης γοῦν
was and the ancestral-things purely he-kept through all at-least
αὐτὸν ἦγεν ἁγνείας οὐδ' ἡμέρα τις παρώδευεν αὐτῷ
himself he-conducted purity nor day any passed-by for-him
τὰ νόμιμα χηρεύουσα θυσίας.
the lawful-things bereft of-sacrifice

332 Καὶ δή τις ἐν τοῖς Ἱεροσολύμοις ἀνὴρ ἐπιχώριος
and indeed someone in — Jerusalem man native
ἐξακριβάζειν δοκῶν τὰ νόμιμα, Σίμων ἦν ὄνομα τούτῳ,
to-be-exact seeming the lawful-things Simon was name to-this-one
πλῆθος εἰς ἐκκλησίαν ἁλίσας τηνικάδε τοῦ βασιλέως
multitude into assembly having-gathered at-that-time the king
εἰς Καισάρειαν ἐκδεδημηκότος ἐτόλμησεν αὐτοῦ κατειπεῖν,
to Caesarea having-gone-abroad dared him to-denounce
ὡς οὐχ ὅσιος εἴη, δικαίως δ' ἂν εἴργοιτο τοῦ
as not holy he-might-be justly and — he-might-be-barred of-the
ναοῦ τῆς εἰσόδου προσηκούσης τοῖς ἐγγενέσιν.
temple from-the entrance belonging to-the native-born

333 δηλοῦται μὲν δὴ διὰ γραμμάτων ὑπὸ τοῦ στρατηγοῦ
is-shown indeed indeed through letters by the commander
τῆς πόλεως τῷ βασιλεῖ δημηγορήσας Σίμων ταῦτα,
of-the city to-the king having-harangued Simon these-things
μεταπέμπεται δὲ αὐτὸν ὁ βασιλεὺς καί, καθέζετο γὰρ
sends-for and him the king and he-sat for
ἐν τῷ θεάτρῳ τότε, καθεσθῆναι παρ' αὐτὸν ἐκέλευσεν.
in the theater then to-sit beside him he-bade
ἠρέμα τε καὶ πράως "εἰπέ μοι," φησίν, "τί τῶν
quietly both and gently tell me he-says what of-the-things
ἐνθάδε γινομένων ἐστὶ παράνομον;"
here happening is lawless

ὁ δὲ εἰπεῖν ἔχων οὐδὲν τυχεῖν ἐδεῖτο συγγνώμης. ἀλλὰ 334
he but to-say having nothing to-obtain asked pardon but
ὁ βασιλεὺς αὐτῷ ἢ προσεδόκησέν τις διηλλάττετο
the king to-him than expected anyone was-reconciled
τὴν πρᾳότητα κρίνων βασιλικωτέραν ὀργῆς καὶ πρέπειν
the gentleness judging more-royal than-anger and to-befit
εἰδὼς τοῖς μεγέθεσι θυμοῦ πλέον ἐπιείκειαν. τὸν Σίμωνα
knowing the greatnesses than-passion more reasonableness — Simon
γοῦν καὶ δωρεᾶς τινος ἀξιώσας ἀπεπέμπετο.
at-least even of-gift some having-deemed-worthy he-dismissed
Πολλοῖς δὲ κατασκευάσας πολλὰ Βηρυτίους ἐξαιρέτως 335
for-many and having-built many-things Berytians especially
ἐτίμησεν· θέατρον γὰρ αὐτοῖς κατεσκεύασε πολυτελείᾳ
he-honored theater for for-them he-built in-costliness
τε καὶ κάλλει πολλῶν διαφέρον ἀμφιθέατρόν τε πολλῶν
both and beauty from-many differing amphitheater both of-many
ἀναλωμάτων βαλανεῖα πρὸς τούτοις καὶ στοάς, ἐν οὐδενὶ
expenses baths besides these and colonnades in none
τῶν ἔργων στενότητι δαπανημάτων ἢ τὸ κάλλος
of-the works by-narrowness of-expenditures either the beauty
ἀδικήσας ἢ τὸ μέγεθος.
having-wronged or the greatness
ἐπεδαψιλεύσατο δ' αὐτῶν τὴν καθιέρωσιν μεγαλοπρεπῶς, 336
he-was-lavish and of-them the dedication magnificently
ἐν τῷ θεάτρῳ μὲν θεωρίας ἐπιτελῶν πάνθ' ὅσα
in the theater indeed spectacles performing all as-many-as
μουσικῆς ἔργα παράγων καὶ ποικίλης ποιητικὰ τέρψεως,
of-music works bringing-on and of-varied productive delight
ἐν δὲ τῷ ἀμφιθεάτρῳ πλήθει μονομάχων τὴν αὐτοῦ
in but the amphitheater with-multitude of-gladiators the his-own
δεικνὺς μεγαλόνοιαν.
showing magnanimity

337 ἔνθα καὶ τὴν κατὰ πλῆθος ἀντίταξιν βουληθεὶς γενέσθαι
there also the in multitude engagement having-wished to-be
τῶν θεωμένων τέρψιν ἑπτακοσίους ἄνδρας ἑπτακοσίοις
of-those watching delight seven-hundred men against-seven-hundred
μαχησομένους εἰσέπεμψεν κακούργους ὅσους εἶχεν
going-to-fight he-sent-in criminals as-many-as he-had
ἀποτάξας εἰς τήνδε τὴν πρᾶξιν, ἵν' οἱ μὲν
having-assigned for this the deed so-that the(-ones) indeed
κολασθῶσιν, τὸ πολέμου δ' ἔργον γένηται τέρψις εἰρήνης.
may-be-punished the of-war but work may-become delight of-peace
τούτους μὲν οὖν πασσυδὶ διέφθειρεν.
these indeed then all-together he-destroyed

338 Ἐν Βηρυτῷ δὲ τελέσας τὰ προειρημένα μετῆλθεν εἰς
in Berytus and having-completed the-things aforesaid he-went to
Τιβεριάδα πόλιν τῆς Γαλιλαίας. ἦν δὲ ἄρα τοῖς ἄλλοις
Tiberias city — of-Galilee he-was and then to-the other
βασιλεῦσιν περίβλεπτος. ἥκε γοῦν παρ' αὐτὸν Κομμαγηνῆς
kings admired came at-least to him of-Commagene
μὲν βασιλεὺς Ἀντίοχος, Ἐμεσῶν δὲ Σαμψιγέραμος καὶ
indeed king Antiochus of-Emesenes and Sampsigeramus and
Κότυς, τῆς μικρᾶς Ἀρμενίας οὗτος ἐβασίλευσεν, καὶ
Cotys of-the Lesser Armenia this-one was-king and
Πολέμων τὴν Πόντου κεκτημένος δυναστείαν Ἡρώδης τε·
Polemo the of-Pontus having-acquired dominion Herod both
οὗτος ἀδελφὸς ἦν αὐτοῦ, ἦρχεν δὲ τῆς Χαλκίδος.
this-one brother was his ruled and — of-Chalcis

339 ὡμίλησε δὲ πᾶσιν κατά τε τὰς ὑποδοχὰς καὶ
he-conversed and with-all in both the receptions and
φιλοφρονήσεις ὡς μάλιστα διαδείξας φρονήσεως ὕψος
kindnesses as most having-displayed of-mind loftiness

καὶ διὰ τοῦτό γε δοκεῖν δικαίως τῇ τοῦ βασιλέως
and because-of this indeed to-seem justly by-the of-the king
παρουσίᾳ τετιμῆσθαι.
presence to-have-been-honored
ἀλλὰ γὰρ τούτων διατριβόντων ἔτι παρ᾽ αὐτῷ Μάρσος 340
but for these staying still with him Marsus
ὁ τῆς Συρίας ἡγεμὼν παρεγένετο. πρὸς Ῥωμαίους οὖν
the — of-Syria governor arrived toward Romans then
τιμητικὸν τηρῶν ὑπαντησόμενος αὐτῷ τῆς πόλεως
honor keeping going-to-meet him from-the city
ἀπωτέρω σταδίους ἑπτὰ προῆλθεν ὁ βασιλεύς.
farther stades seven went-forth the king
τοῦτο δὲ ἄρα ἔμελλεν τῆς πρὸς Μάρσον ἀρχὴ γενήσεσθαι 341
this and then was-going of-the with Marsus beginning to-become
διαφορᾶς· συγκαθεζόμενος γὰρ ἐπὶ τῆς ἀπήνης ἐπήγετο
quarrel sitting-together for on the carriage he-brought-along
τοὺς ἄλλους βασιλέας, Μάρσῳ δ᾽ ἡ τούτων ὁμόνοια
the other kings to-Marsus and the of-these concord
καὶ μέχρι τοσοῦδε φιλία πρὸς ἀλλήλους ὑπωπτεύθη
and up-to so-great friendship toward each-other was-suspected
συμφέρειν οὐχ ὑπολαμβάνοντι Ῥωμαίοις δυναστῶν
to-benefit not supposing for-Romans of-dynasts
τοσούτων συμφρόνησιν. εὐθὺς οὖν ἑκάστῳ τῶν ἐπιτηδείων
so-many unanimity at-once then to-each of-the friends
τινὰς πέμπων ἐπέστελλεν ἐπὶ τὰ ἑαυτοῦ δίχα μελλήσεως
some sending he-sent-word to the his-own without delay
ἀπέρχεσθαι.
to-depart

At odds with Marsus, Agrippa deposes the high priest Matthias. In the third year of his reign over all Judaea he holds games at Caesarea for Caesar; on the second day he enters the theater at dawn in a robe of silver that blazes in the sun, and his flatterers hail him as a god. He does not rebuke them, and soon, seeing an owl above his head, he knows it for a messenger of evil. Seized by pains in his belly, he dies after five days, in his fifty-fourth year, leaving a son, Agrippa, and three daughters, and Herod of Chalcis and Helcias have Silas killed as if at the king's order. Caesarea and Sebaste revile his memory; Claudius, dissuaded from sending the young Agrippa, sends Cuspius Fadus, and the local troops he means to move stay and become a seed of the war under Florus.

342 ταῦτα Ἀγρίππας ἀνιαρῶς ἐξεδέχετο· καὶ Μάρσῳ μὲν ἐκ
these-things Agrippa grievously received and with-Marsus indeed from
τούτου διαφόρως ἔσχεν, τὴν ἀρχιερωσύνην δὲ Ματθίαν
this at-variance he-was the high-priesthood and Matthias
ἀφελόμενος ἀντ᾽ αὐτοῦ κατέστησεν ἀρχιερέα Ἐλιωναῖον
having-taken-from instead-of him appointed high-priest Elionaeus
τὸν τοῦ Κιθαίρου παῖδα.
the — of-Cithaerus son

343 Τρίτον δὲ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας
third and year for-him reigning of-the whole Judaea
πεπλήρωτο, καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ
had-been-completed and he-came to city Caesarea which
τὸ πρότερον Στράτωνος πύργος ἐκαλεῖτο. συνετέλει
the formerly of-Strato tower was-called he-held
δ᾽ ἐνταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμὴν
and there spectacles for the of-Caesar honor
ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην
for the his safety festival some this
ἐπιστάμενος, καὶ παρ᾽ αὐτὴν ἤθροιστο τῶν κατὰ
knowing and at it had-been-gathered of-those in

τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν
the province in office and advanced to rank
πλῆθος.
multitude
δευτέρᾳ δὴ τῶν θεωριῶν ἡμέρᾳ στολὴν ἐνδὺς 344
on-the-second indeed of-the spectacles day robe having-put-on
ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον
from silver made all so-as wonderful
ὑφὴν εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης
weave to-be he-came into the theater beginning
ἡμέρας. ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων
day there at-the first of-the solar rays
ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς θαυμασίως ἀπέστιλβε
strikings the silver illuminated wonderfully shone-forth
μαρμαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι
flashing something fearful and to-those at him gazing
φρικῶδες.
awe-inspiring
εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲ ἐκείνῳ πρὸς ἀγαθοῦ 345
at-once and the flatterers the not-even for-that-one for good
ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, θεὸν προσαγορεύοντες
one from-another-place voices cried-out god addressing-him
εὐμενής τε εἴης ἐπιλέγοντες, “εἰ καὶ μέχρι νῦν ὡς
gracious both may-you-be adding if even until now as
ἄνθρωπον ἐφοβήθημεν,
man we-feared
ἀλλὰ τοὐντεῦθεν κρείττονά σε θνητῆς φύσεως ὁμολογοῦμεν.” 346
but henceforth superior you than-mortal nature we-acknowledge
οὐκ ἐπέπληξεν τούτοις ὁ βασιλεὺς οὐδὲ τὴν κολακείαν
not rebuked these the king nor the flattery
ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας δ’ οὖν μετ’ ὀλίγον
impious rejected having-looked-up and then after little

τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθιζόμενον
the owl of-the his-own head sitting-above
εἶδεν ἐπὶ σχοινίου τινός. ἄγγελον τοῦτον εὐθὺς
he-saw on rope some messenger this-one at-once
ἐνόησεν κακῶν εἶναι τὸν καί ποτε τῶν ἀγαθῶν
he-perceived of-evils to-be the(-one) also once of-the goods
γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην, ἄθρουν δ᾽
having-been and heart-piercing he-had pain sudden and
αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα μετὰ σφοδρότητος
to-him of-the belly arose pain with violence
ἀρξάμενον.
having-begun
347 ἀναθορὼν οὖν πρὸς τοὺς φίλους, "ὁ θεὸς ὑμῖν
having-leaped-up then to the friends the god to-you
ἐγώ," φησίν, "ἤδη καταστρέφειν ἐπιτάττομαι τὸν
I he-says already to-end am-ordered the
βίον, παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου
life at-once the destiny the just-now about-me
κατεψευσμένας φωνὰς ἐλεγχούσης· ὁ κληθεὶς
falsely-spoken words refuting the(-one) called
ἀθάνατος ὑφ᾽ ὑμῶν ἤδη θανεῖν ἀπάγομαι. δεκτέον
immortal by you already to-die am-led-away one-must-accept
δὲ τὴν πεπρωμένην, ᾗ θεὸς βεβούληται· καὶ γὰρ
and the destiny as god has-willed and for
βεβιώκαμεν οὐδαμῇ φαύλως, ἀλλ᾽ ἐπὶ τῆς μακαριζομένης
we-have-lived in-no-way meanly but in the deemed-blessed
λαμπρότητος."
splendor
348 ταῦθ᾽ ἅμα λέγων ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο·
these-things at-once saying by-intensification of-the pain he-was-worn-down
μετὰ σπουδῆς οὖν εἰς τὸ βασίλειον ἐκομίσθη καὶ διῆξε
with haste then into the palace he-was-carried and ran-through

λόγος εἰς πάντας, ὡς ἔχοι τοῦ τεθνάναι παντάπασι
word to all that he-was-near of-the to-have-died altogether
μετ᾽ ὀλίγον.
after little
ἡ πληθὺς δ᾽ αὐτίκα σὺν γυναιξὶν καὶ παισὶν 349
the multitude and at-once with women and children
ἐπὶ σάκκων καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν
on sackcloths having-sat by-the ancestral law the
θεὸν ἱκέτευεν ὑπὲρ τοῦ βασιλέως, οἰμωγῆς δὲ
god supplicated for the king of-wailing and
πάντ᾽ ἦν ἀνάπλεα καὶ θρήνων. ἐν ὑψηλῷ δ᾽ ὁ
all-things were full and of-laments on high and the
βασιλεὺς δωματίῳ κατακείμενος καὶ κάτω βλέπων
king room lying and down looking
αὐτοὺς πρηνεῖς καταπίπτοντας ἄδακρυς οὐδ᾽ αὐτὸς
them prone falling-down tearless not-even himself
διέμενεν.
remained
συνεχεῖς δ᾽ ἐφ᾽ ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι 350
continuous and for days five by-the of-the belly pain
διεργασθεὶς τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων
worn-out the life he-ended from birth leading
πεντηκοστὸν ἔτος καὶ τέταρτον, τῆς βασιλείας δ᾽
fiftieth year and fourth of-the reign and
ἕβδομον.
seventh
τέτταρας μὲν οὖν ἐπὶ Γαΐου Καίσαρος ἐβασίλευσεν 351
four indeed then under Gaius Caesar he-reigned
ἐνιαυτοὺς τῆς Φιλίππου μὲν τετραρχίας εἰς τριετίαν
years of-the of-Philip indeed tetrarchy for three-years
ἄρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρώδου προσειληφώς,
having-ruled in-the fourth and also the of-Herod having-taken-in-addition

τρεῖς δ' ἐπιλαβὼν τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας,
three and having-added of-the of-Claudius Caesar sovereignty
ἐν οἷς τῶν τε προειρημένων ἐβασίλευσεν καὶ
in which the both aforesaid he-reigned-over and
τὴν Ἰουδαίαν προσέλαβεν Σαμάρειάν τε καὶ
— Judaea he-took-in-addition Samaria both and
Καισάρειαν.
Caesarea

352 προσωδεύσατο δ' ὅτι πλείστας αὐτῶν προσφορὰς
he-drew-revenue and as most from-them revenues
διακοσίας ἐπὶ χιλίαις μυριάδας, πολλὰ μέντοι
two-hundred over thousand ten-thousands many-things however
προσεδανείσατο· τῷ γὰρ φιλόδωρος εἶναι δαψιλέστερα
he-borrowed-besides by-the for generous to-be more-lavishly
τῶν προσιόντων ἀνήλισκεν, ἦν δὲ ἀφειδὲς αὐτοῦ τὸ
than-the incomings he-spent was and unsparing his the
φιλότιμον.
ambition

353 Ἀγνοουμένης γε μὴν τοῖς πλήθεσιν τῆς ἐκπνοῆς αὐτοῦ
being-unknown indeed indeed to-the multitudes the death his
συμφρονήσαντες Ἡρώδης τε ὁ τῆς Χαλκίδος δυναστεύων
having-plotted-together Herod both the — of-Chalcis ruling
καὶ Ἑλκίας ὁ ἔπαρχος καὶ φίλος τοῦ βασιλέως Ἀρίστωνα
and Helcias the prefect and friend of-the king Ariston
ἔπεμψαν τῶν ὑπηρετῶν τὸν ἐπιτήδειον καὶ Σίλαν, ἐχθρὸς
sent of-the attendants the suitable and Silas enemy
γὰρ ἦν αὐτοῖς, ἀπέσφαξαν ὡς δὴ τοῦ βασιλέως
for he-was to-them they-slew as indeed the king
κελεύσαντος.
having-ordered

Ἀγρίππας μὲν οὖν ὁ βασιλεὺς τρόπῳ τοιούτῳ 354
Agrippa indeed then the king in-manner such
κατέστρεψεν τὸν βίον, γένει δὲ αὐτῷ κατελέλειπτο
ended the life by-family and to-him had-been-left
υἱὸς μὲν Ἀγρίππας ἄγων ἔτος ἑπτακαιδέκατον, τρεῖς
son indeed Agrippa leading year seventeenth three
δὲ θυγατέρες, ὧν ἡ μὲν Ἡρώδῃ τοῦ πατρὸς
and daughters of-whom the(-one) indeed to-Herod of-the father
ἀδελφῷ γεγάμητο Βερενίκη τὸ ἑκκαιδέκατον ἔτος
brother had-been-married Berenice the sixteenth year
γεγονυῖα, παρθένοι δ' ἦσαν αἱ δύο Μαριάμμη τε
having-become maidens and were the two Mariamne both
καὶ Δρούσιλλα, δεκαετὴς μὲν ἡ ἑτέρα, ἑξαετὴς δὲ
and Drusilla ten-years-old indeed the one six-years-old and
Δρούσιλλα·
Drusilla
καθωμολόγηντο δ' ὑπὸ τοῦ πατρὸς πρὸς γάμον Ἰουλίῳ 355
had-been-betrothed and by the father for marriage to-Julius
μὲν Ἀρχελάῳ τοῦ Χελκίου παιδὶ Μαριάμμη, Δρούσιλλα
indeed Archelaus the of-Helcias son Mariamne Drusilla
δὲ Ἐπιφανεῖ, τοῦ δὲ τῆς Κομμαγηνῆς βασιλέως Ἀντιόχου
and to-Epiphanes of-the and — of-Commagene king Antiochus
υἱὸς ἦν οὗτος.
son was this-one
ἀλλὰ γὰρ ὅτε ἐγνώσθη τὸν βίον ἐκλιπὼν Ἀγρίππας, 356
but for when it-was-known the life having-left Agrippa
Καισαρεῖς καὶ Σεβαστηνοὶ τῶν εὐποιῶν αὐτοῦ λαθόμενοι
Caesareans and Sebastenes of-the benefactions his having-forgotten
τὰ τῶν δυσμενεστάτων ἐποίησαν·
the-things of-the most-hostile did

357 βλασφημίας τε γὰρ ἀπερρίπτουν εἰς τὸν κατοιχόμενον
blasphemies both for they-threw at the departed
ἀπρεπεῖς λέγεσθαι καὶ ὅσοι στρατευόμενοι
unseemly to-be-spoken and as-many-as soldiering
τότε ἔτυχον, συχνοὶ δ' ἦσαν, οἴκαδε ἀπῆλθον
then happened numerous and they-were home went-away
[…]
(omitted)
358 ἐπί τε τοῖς δημοσίοις κατακλινόμενοι τόποις
on both the public reclining places
πανδήμους ἑστιάσεις ἐπετέλουν στεφανούμενοι
public feasts held being-crowned
καὶ μυριζόμενοι καὶ σπένδοντες τῷ Χάρωνι
and anointing-themselves and pouring-libations — to-Charon
προπόσεις τῆς τοῦ βασιλέως ἐκπνοῆς ἀλλήλοις
toasts of-the of-the king death to-each-other
ἀνταποδιδόντες.
returning
359 ἀμνήμονες δ' ἦσαν οὐκ Ἀγρίππα μόνον χρησαμένου
unmindful and they-were not of-Agrippa only having-shown
πολλαῖς εἰς αὐτοὺς φιλοτιμίαις, καὶ τοῦ πάππου
many toward them munificences and of-the grandfather
δὲ Ἡρώδου· τὰς πόλεις ἐκεῖνος αὐτοῖς ἔκτισεν
and Herod the cities that-one for-them founded
λιμένας τε καὶ ναοὺς κατεσκεύασεν λαμπροῖς
harbors both and temples he-built with-brilliant
δαπανήμασιν.
expenditures

Ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς Ἀγρίππας ἐπὶ Ῥώμης 360
the and of-the dead son Agrippa at Rome
ἦν ἐν τῷ χρόνῳ τούτῳ τρεφόμενος παρὰ Κλαυδίῳ
was in the time this being-reared with Claudius
Καίσαρι.
Caesar
πυθόμενός γε μὴν Καῖσαρ, ὅτι τέθνηκεν Ἀγρίππας, 361
having-learned indeed indeed Caesar that has-died Agrippa
Σεβαστηνοὶ δὲ καὶ Καισαρεῖς ὑβρίκασιν εἰς αὐτόν,
Sebastenes and and Caesareans have-outraged against him
ἐπ᾽ ἐκείνῳ μὲν ἤλγησεν, ἐπὶ δὲ τοὺς ἀχαριστήσαντας
at that-one indeed he-grieved at but the ungrateful-ones
ὠργίσθη.
he-was-angered
πέμπειν οὖν εὐθέως ὥρμητο τὸν νεώτερον Ἀγρίππαν 362
to-send then at-once he-was-set the younger Agrippa
τὴν βασιλείαν διαδεξόμενον ἅμα βουλόμενος ἐμπεδοῦν
the kingdom going-to-succeed-to at-once wishing to-confirm
τοὺς ὀμωμοσμένους ὅρκους, ἀλλὰ τῶν ἐξελευθέρων
the sworn oaths but of-the freedmen
καὶ φίλων οἱ πολὺ παρ᾽ αὐτῷ δυνάμενοι ἀπέτρεψαν,
and friends those much with him having-power turned-him-away
σφαλερὸν εἶναι λέγοντες κομιδῇ νέῳ μηδὲ τοὺς παιδὸς
perilous to-be saying for-quite young not-even the of-boy
ἐκβεβηκότι χρόνους ἐπιτρέπειν βασιλείας τηλικοῦτον
having-passed-beyond times to-entrust of-kingdom so-great
μέγεθος, ᾧ μὴ δυνατὸν τὰς τῆς διοικήσεως φροντίδας
greatness to-whom not possible the of-the administration cares
ἐνεγκεῖν, καὶ τελείῳ δ᾽ οὖν εἶναι βαρὺ βάσταγμα
to-bear even for-full-grown and then to-be heavy burden
βασιλείαν.
kingdom

363 ἔδοξεν οὖν αὐτοὺς εἰκότα λέγειν ὁ Καῖσαρ.
he-thought then them reasonable-things to-say — Caesar
ἔπαρχον οὖν τῆς Ἰουδαίας καὶ τῆς ἁπάσης βασιλείας
prefect then — of-Judaea and of-the whole kingdom
ἀπέστειλεν Κούσπιον Φᾶδον τῷ κατοιχομένῳ διδοὺς
he-sent Cuspius Fadus to-the departed giving
τιμὴν τὸ μὴ Μάρσον ἐπαγαγεῖν εἰς βασιλείαν αὐτῷ
honor the not Marsus to-bring-in into kingdom to-him
διάφορον.
at-variance

364 ἐγνώκει δὲ πρὸ πάντων ἐπιστεῖλαι τῷ Φάδῳ
he-had-decided and before all-things to-enjoin — to-Fadus
Καισαρεῦσιν καὶ Σεβαστηνοῖς ἐπιπλῆξαι τῆς εἰς τὸν
Caesareans and Sebastenes to-rebuke for-the toward the
κατοιχόμενον ὕβρεως καὶ παροινίας εἰς τὰς ἔτι
departed outrage and drunken-violence toward the still
ζώσας,
living

365 τὴν ἴλην δὲ τῶν Καισαρέων καὶ τῶν Σεβαστηνῶν
the squadron and of-the Caesareans and of-the Sebastenes
καὶ τὰς πέντε σπείρας εἰς Πόντον μεταγαγεῖν, ἵν' ἐκεῖ
and the five cohorts into Pontus to-transfer so-that there
στρατεύοιντο, τῶν δ' ἐν Συρίᾳ Ῥωμαϊκῶν ταγμάτων
they-might-serve of-the and in Syria Roman legions
ἐπιλέξαι στρατιώτας κατ' ἀριθμοὺς καὶ τὸν ἐκείνων
to-select soldiers by numbers and the their
ἀναπληρῶσαι τόπον.
to-fill-up place

366 οὐ μὴν οἱ κελευσθέντες μετέστησαν· πρεσβευσάμενοι
not indeed those ordered moved having-sent-embassies
γὰρ Κλαύδιον ἀπεμειλίξαντο καὶ μένειν ἐπὶ τῆς
for Claudius they-appeased and to-remain in —

Ἰουδαίας ἐπέτυχον, οἳ καὶ τοῖς ἐπιοῦσι χρόνοις τῶν
Judaea obtained who also in-the coming times of-the
μεγίστων Ἰουδαίοις ἐγένοντο συμφορῶν ἀρχὴ τοῦ κατὰ
greatest for-Jews became misfortunes beginning of-the under
Φλῶρον πολέμου σπέρματα βαλόντες. ὅθεν Οὐεσπασιανὸς
Florus war seeds having-cast whence Vespasian
κρατήσας, ὡς μετ᾽ ὀλίγον ἐροῦμεν, ἐξήγαγεν αὐτοὺς τῆς
having-prevailed as after little we-shall-tell led-out them from-the
ἐπαρχίας.
province

PLUTARCH

ΓΑΛΒΑΣ

Galba

I · GALBA IS PROCLAIMED

An army led by untaught passions is the most fearful thing in an empire, as Rome learns after Nero's death, when four emperors pass through the Palatium in less time than a tyrant of Pherae ruled. Nymphidius Sabinus, prefect of the guard, first teaches the soldiers to sell their loyalty, promising each a vast gift for proclaiming Galba. Galba, a rich and noble man, governs Spain mildly under Nero. When Vindex rises in Gaul and urges him to take the empire, Titus Vinius presses him to accept, and he declares himself general of the senate and people. The senate votes him an enemy; Verginius Rufus, commanding the German army in Gaul, refuses the empire, and when his legions crush Vindex against their leaders' will, Galba withdraws to Clunia in fear.

Ὁ μὲν Ἀθηναῖος Ἰφικράτης τὸν μισθοφόρον ἠξίου 1
the indeed Athenian Iphicrates the mercenary deemed-fit
στρατιώτην καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον,
soldier both money-loving to-be and pleasure-loving
ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν ἀγωνίζηται
so-that for-the desires supply seeking he-may-fight
παραβολώτερον, οἱ δὲ πλεῖστοι, καθάπερ ἐρρωμένον σῶμα,
more-recklessly the but most like strong body
τὸ στρατιωτικὸν ἀξιοῦσιν ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ
the military deem-fit own never using impulse
συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ.
to-be-moved-together-with the of-the general
διὸ καὶ Παῦλον Αἰμίλιον λέγουσι τὴν ἐν Μακεδονίᾳ
wherefore also Paulus Aemilius they-say the in Macedonia
δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας, οἷον
force having-taken-over of-chatter and of-meddling as-it-were
διαστρατηγοῦσαν, ἀνάπλεων, παρεγγυῆσαι τὴν χεῖρα ποιεῖν
playing-the-general full to-have-ordered the hand to-make

ἑτοίμην καὶ τὴν μάχαιραν ὀξεῖαν ἕκαστον, αὐτῷ δὲ
ready and the sword sharp each for-himself and
τῶν ἄλλων μελήσειν.
of-the others to-be-going-to-be-a-care
ὁ δὲ Πλάτων οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ
— and Plato no work seeing of-ruler good and
στρατηγοῦ στρατιᾶς μὴ σωφρονούσης μηδὲ ὁμοπαθούσης,
general of-army not being-temperate nor sharing-feeling
ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν ὁμοίως τῇ βασιλικῇ
but the obedient virtue alike to-the royal
νομίζων φύσεως γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι,
thinking of-nature noble and of-nurture philosophic to-need
μάλιστα τῷ πράῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ
most with-the gentle and humane the spirited and
δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη
active harmoniously mixing other both sufferings
πολλὰ καὶ τὰ Ῥωμαίοις συμπεσόντα μετὰ τὴν Νέρωνος
many and the-things to-Romans having-befallen after the of-Nero
τελευτὴν ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι
end has testimonies and examples of-the nothing to-be
φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς
more-fearful with-untaught dealing and irrational impulses
ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως.
in empire than-military force
Δημάδης μὲν γὰρ Ἀλεξάνδρου τελευτήσαντος εἴκαζε τὴν
Demades indeed for Alexander having-died likened the
Μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ Κύκλωπι, πολλὰς
of-Macedonians army to-the-blinded — Cyclops many
κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους· τὴν
moving seeing motions disorderly and frenzied the
δὲ Ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις Τιτανικοῖς
and of-Romans empire like to-the so-called Titanic

πάθεσι καὶ κινήμασι κατελάμβανεν, εἰς πολλὰ διασπωμένην
sufferings and convulsions seized into many being-torn-apart
ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν, οὐχ
at-once and from-many-sides again with-itself colliding not
οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων,
so by love-of-rule of-those proclaimed emperors
ὡς φιλοπλουτίας καὶ ἀκολασίας τοῦ στρατιωτικοῦ δι᾽
as by-love-of-money and licentiousness the of-the-military through
ἀλλήλων ὥσπερ ἥλους τοὺς ἡγεμόνας ἐκκρούοντος.
each-other like nails the leaders knocking-out
καίτοι Διονύσιος Φεραῖον ἄρξαντα Θετταλῶν δέκα
and-yet Dionysius Pheraean having-ruled Thessalians ten
μῆνας, εἶτα εὐθὺς ἀναιρεθέντα, τὸν τραγικὸν ἀνεκάλει
months then at-once killed the tragic called
τύραννον, ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς, ἡ δὲ τῶν
tyrant mocking the speed of-the change the and of-the
Καισάρων ἑστία, τὸ Παλάτιον, ἐν ἐλάσσονι χρόνῳ τέσσαρας
Caesars hearth — Palatium in less time four
αὐτοκράτορας ὑπεδέξατο, τὸν μὲν εἰσαγόντων ὥσπερ διὰ
emperors received the(-one) indeed bringing-in as through
σκηνῆς, τὸν δ᾽ ἐξαγόντων. ἀλλ᾽ ἦν γε παραμυθία
stage the(-other) and bringing-out but there-was indeed consolation
τοῖς κακῶς πάσχουσι μία τὸ μὴ δεηθῆναι δίκης ἑτέρας ἐπὶ
to-those badly suffering one the not to-need of-justice other upon
τοὺς αἰτίους, ἀλλ᾽ ὁρᾶν αὐτοὺς ὑφ᾽ ἑαυτῶν φονευομένους,
the guilty but to-see them by themselves being-murdered
πρῶτον δὲ καὶ δικαιότατα πάντων τὸν δελεάσαντα
first and also most-justly of-all the(-one) having-baited
καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ Καίσαρος
and having-taught so-much to-hope from change of-Caesar

ὅσον αὐτὸς ὑπέσχετο, κάλλιστον ἔργον διαβαλὼν τῷ
as-much-as he-himself promised finest deed having-slandered by-the
μισθῷ, τὴν ἀπὸ Νέρωνος ἀποστασίαν προδοσίαν γενομένην.
pay the from Nero revolt treason having-become
2 Νυμφίδιος γὰρ Σαβῖνος ὢν ἔπαρχος, ὥσπερ εἴρηται, μετὰ
Nymphidius for Sabinus being prefect as has-been-said with
Τιγελλίνου τῆς αὐλῆς, ἐπεὶ τὰ Νέρωνος ἀπέγνωστο
Tigellinus of-the court when the-things of-Nero had-been-despaired-of
παντάπασι καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς Αἴγυπτον,
altogether and plain he-was going-to-run-away to Egypt
ἔπεισε τὸ στρατιωτικόν, ὡς μηκέτι παρόντος, ἀλλ' ἤδη
persuaded the military as no-longer present but already
πεφευγότος, αὐτοκράτορα Γάλβαν ἀναγορεῦσαι,
having-fled emperor Galba to-proclaim
καὶ δωρεὰν ὑπέσχετο κατ' ἄνδρα τοῖς αὐλικοῖς καὶ
and gift promised per man to-the court and
στρατηγικοῖς προσαγορευομένοις δραχμὰς ἑπτακισχιλίας
praetorian so-called drachmas seven-thousand
πεντακοσίας, τοῖς δὲ ἐκτὸς στρατευομένοις πεντήκοντα καὶ
five-hundred to-the and outside serving fifty and
διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν μὴ
two-hundred over thousand as-much-as impossible was to-collect not
πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν ἀνθρώποις
more ten-thousand-fold evils having-provided to-all men
ὧν Νέρων παρέσχε.
than Nero provided
τοῦτο γὰρ εὐθὺς μὲν ἀπώλεσε Νέρωνα, μετ' ὀλίγον
this for at-once indeed destroyed Nero after little
δὲ Γάλβαν τὸν μὲν γὰρ ὡς ληψόμενοι προήκαντο,
but Galba the(-one) indeed for as going-to-receive they-abandoned
τὸν δὲ μὴ λαμβάνοντες ἀπέκτειναν. εἶτα τὸν
the(-other) but not receiving they-killed then the(-one)

τοσοῦτον δώσοντα ζητοῦντες ἔφθησαν ἐν ταῖς ἀποστάσεσι
so-much going-to-give seeking they-anticipated in the revolts
καὶ προδοσίαις ἀναλώσαντες αὑτοὺς ἢ τυχόντες ὧν
and treasons having-spent themselves or having-obtained what
ἤλπισαν. τὰ μὲν οὖν καθ' ἕκαστα τῶν γενομένων
they-hoped the-things indeed then in detail of-the-things having-happened
ἀπαγγέλλειν ἀκριβῶς τῆς πραγματικῆς ἱστορίας ἐστίν,
to-report exactly of-the pragmatic history is
ὅσα δὲ ἄξια λόγου τοῖς τῶν Καισάρων ἔργοις καὶ
as-many-as but worthy of-account to-the of-the Caesars deeds and
πάθεσι συμπέπτωκεν, οὐδὲ ἐμοὶ προσήκει παρελθεῖν.
sufferings has-happened not-even for-me befits to-pass-by
Γάλβας Σουλπίκιος ὅτι μὲν ἰδιώτης πλουσιώτατος 3
Galba Sulpicius that indeed private-man richest
ἁπάντων εἰς τὸν Καισάρων παρῆλθεν οἶκον, ὁμολογεῖται
of-all into the of-Caesars came house is-agreed
μέγα δὲ ἔχων εὐγενείας ἀξίωμα τὸν Σερουΐων οἶκον, αὐτὸς
great and having of-noble-birth dignity the of-the-Servii house himself
ἐφρόνει μεῖζον ἐπὶ τῇ Κάτλου συγγενείᾳ, πρωτεύσαντος
was-proud more on the of-Catulus kinship having-been-first
ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν καθ' ἑαυτόν, εἰ καὶ τὸ
man in-virtue and repute of-those in his-time if even the
δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν.
to-be-powerful rather willingly to-others he-yielded
ἦν δέ τι καὶ Λιβίᾳ τῇ Καίσαρος γυναικὶ κατὰ γένος
was and somewhat also to-Livia the of-Caesar wife by family
προσήκων ὁ Γάλβας, καὶ διὰ τοῦτο Λιβίας παρασχούσης
related — Galba and because-of this Livia having-provided
ὕπατος ἐκ Παλατίου προῆλθε. λέγεται δὲ καὶ στρατεύματος
consul from Palatium he-went-forth it-is-said and also army
ἐν Γερμανίᾳ καλῶς ἄρξαι καὶ Λιβύης ἀνθύπατος
in Germany well to-have-commanded and of-Libya proconsul

γενόμενος σὺν ὀλίγοις ἐπαινεθῆναι. τὸ δὲ εὔκολον αὐτοῦ
having-become with few to-have-been-praised the and easiness his
τῆς διαίτης καὶ φειδωλὸν ἐν δαπάναις καὶ ἀπέριττον
of-the living and thrifty in expenditures and plain
αἰτίαν ἔσχεν αὐτοκράτορος γενομένου μικρολογίας, ἣν
charge had emperor having-become of-stinginess which
ἕωλόν τινα δόξαν εὐταξίας ἔφερε καὶ σωφροσύνης.
stale some reputation of-orderliness bore and of-temperance
ἐπέμφθη δὲ ὑπὸ Νέρωνος Ἰβηρίας ἄρχων, οὔπω
he-was-sent and by Nero of-Iberia ruler not-yet
δεδιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι μεγάλους τῶν
having-been-taught to-fear those in dignities great of-the
πολιτῶν. ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι πρᾴῳ γεγονέναι
citizens to-that-one and also by-nature seeming gentle to-have-been
προσετίθει πίστιν εὐλαβείας τὸ γῆρας.
added trust of-caution the old-age

4 Ἐπεὶ δέ, τῶν ἀλιτηρίων ἐπιτρόπων ὠμῶς καὶ ἀγρίως
when and the accursed procurators savagely and cruelly
τὰς ἐπαρχίας ἐκείνῳ διαφορούντων, ἄλλο μὲν εἶχεν
the provinces under-that-one plundering other indeed he-had
οὐδὲν βοηθεῖν, αὐτῷ δὲ τῷ φανερὸς εἶναι συναλγῶν
nothing to-help by-the-very but the plain to-be grieving-with
καὶ συναδικούμενος ἁμῶς γέ πως ἀναπνοήν τινα
and being-wronged-with somehow indeed somehow breathing-space some
καὶ παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις
and consolation to-those being-condemned and being-sold
παρέσχε· καὶ ποιημάτων εἰς Νέρωνα γινομένων καὶ
provided and of-poems against Nero being-made and
πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώλυεν
in-many-places carried-around and sung not he-hindered

οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις· ἐφ᾽ οἷς ἔτι μᾶλλον
nor was-indignant-with the procurators at which still more
ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων.
he-was-loved by the men
καὶ γὰρ ἦν ἤδη συνήθης, ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν
and for he-was already familiar year eighth that the rule
ἔχων ἐν ᾧ Ἰούνιος Οὐίνδιξ ἐπανέστη Νέρωνι, Γαλατίας
having in which Junius Vindex rose-against Nero of-Gaul
ὢν στρατηγός. λέγεται μὲν οὖν καὶ πρὸ τῆς ἐμφανοῦς
being general it-is-said indeed then also before the open
ἀποστάσεως γράμματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ
revolt letters to him to-have-come from —
Οὐίνδικος, οἷς μήτε πιστεῦσαι μήτε μηνῦσαι καὶ κατειπεῖν,
Vindex to-which neither to-trust nor to-inform and to-denounce
ὡς ἕτεροι τῶν ἡγεμονικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας
as others of-the governors letters to-them written
ἔπεμψαν πρὸς Νέρωνα καὶ διέφθειραν ὅσον ἐπ᾽ αὐτοῖς
sent to Nero and ruined as-much-as on them
τὴν πρᾶξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν
the undertaking in-which later having-shared they-acknowledged
αὑτῶν οὐδὲν ἧττον ἢ ἐκείνου προδόται γεγονέναι.
themselves nothing less than of-that-one traitors to-have-become
ἀλλ᾽ ἐπειδὴ λαμπρῶς τὸν πόλεμον ἐκφήνας ὁ Οὐίνδιξ
but when brilliantly the war having-declared — Vindex
ἔγραψε τῷ Γάλβᾳ παρακαλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν
wrote — to-Galba urging to-take-up the empire
καὶ παρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλήν,
and to-offer himself to-strong body seeking head
ταῖς Γαλατίαις δέκα μυριάδας ἀνδρῶν ὡπλισμένων
to-the Gauls ten ten-thousands of-men armed
ἐχούσαις ἄλλας τε πλείονας ὁπλίσαι δυναμέναις, προὔθηκε
having others both more to-arm being-able he-set-before

βουλὴν τοῖς φίλοις. ὧν οἱ μὲν ἠξίουν περιμένειν
counsel to-the friends of-whom the(-ones) indeed deemed-fit to-wait
καραδοκοῦντα τίνα κίνησιν ἡ Ῥώμη καὶ φορὰν ἕξει
watching what movement — Rome and tendency will-have
πρὸς τὸν νεωτερισμόν·
toward the revolution
Τίτος δὲ Οὐίνιος ὁ τοῦ στρατηγικοῦ τάγματος ἡγεμὼν
Titus and Vinius the of-the praetorian cohort commander
αὐτοῖς εἶπεν· "ὦ Γάλβα, τίνα τρόπον βουλεύεσθε; τὸ γὰρ
to-them said O Galba what manner do-you-deliberate the for
ζητεῖν Νέρωνι εἰ πιστοὶ μενοῦμεν, οὐκ ἤδη μενόντων
to-inquire for-Nero if faithful we-shall-remain not already of-those-remaining
ἐστίν, ὡς οὖν ὑπάρχοντος ἐχθροῦ Νέρωνος οὐ δὴ
is as then being enemy Nero not indeed
προετέον τὴν τοῦ Οὐίνδικος φιλίαν, ἢ καὶ κατηγορητέον
one-must-forsake the — of-Vindex friendship or also one-must-accuse
εὐθὺς αὐτοῦ καὶ πολεμητέον, ὅτι σὲ βούλεται Ῥωμαίους
at-once him and one-must-make-war because you he-wishes Romans
ἔχειν ἄρχοντα μᾶλλον ἢ Νέρωνα τύραννον."
to-have ruler rather than Nero tyrant
5 Ἐκ τούτου προγράμματι μὲν ἐδήλωσεν ὁ Γάλβας ἡμέραν
from this by-proclamation indeed declared — Galba day
ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώσει τοῖς
on which the by part manumissions he-will-give to-those
δεομένοις, λαλιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος
asking chatter and and rumor having-spread-ahead multitude
ἀνθρώπων ἤθροισε προθύμων ἐπὶ τὸν νεωτερισμόν. οὐκ
of-men gathered eager for the revolution not
ἔφθη γοῦν φανερὸς ἐπὶ τοῦ βήματος γενόμενος, καὶ
anticipated at-least plain on the tribunal having-become and
πάντες αὐτὸν ὁμοφώνως αὐτοκράτορα προσεῖπον.
all him with-one-voice emperor hailed

ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσεδέξατο τὴν προσηγορίαν,
he and this indeed at-once not accepted the title
κατηγορήσας δὲ τοῦ Νέρωνος, καὶ τῶν ἀνῃρημένων
having-accused but — Nero and the killed
ἀνδρῶν ὑπ᾽ αὐτοῦ τοὺς ἐπιφανεστάτους ὀλοφυράμενος,
men by him the most-illustrious having-lamented
ὡμολόγησεν ἐπιδώσειν τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν,
he-agreed to-be-going-to-give to-the fatherland the his-own forethought
οὔτε Καῖσαρ οὔτε αὐτοκράτωρ, στρατηγὸς δὲ συγκλήτου
neither Caesar nor emperor general but of-senate
καὶ δήμου Ῥωμαίων ὀνομαζόμενος.
and people of-Romans being-named
ὅτι δ᾽ ὀρθῶς ὁ Οὐίνδιξ καὶ λελογισμένως ἐξεκαλεῖτο
that and rightly — Vindex and calculatedly called-forth
τὸν Γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπιστώσατο μάρτυρι τῷ
— Galba to the empire he-confirmed with-witness —
Νέρωνι. προσποιούμενος γὰρ ἐκείνου καταφρονεῖν καὶ
Nero pretending for of-that-one to-despise and
παρ᾽ οὐδὲν ἡγεῖσθαι τὰ Γαλατῶν, ἅμα τῷ πυθέσθαι
as nothing to-consider the-things of-Gauls at-once with-the to-learn
τὰ περὶ Γάλβαν ἔτυχε δὲ λελουμένος καὶ ἀριστῶν
the-things about Galba he-happened and having-bathed and lunching
ἀνέτρεψε τὴν τράπεζαν.
he-overturned the table
οὐ μὴν ἀλλὰ συγκλήτου ψηφισαμένης πολέμιον τὸν Γάλβαν
not indeed but the-senate having-voted enemy — Galba
αὐτός τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς φίλους
himself both to-jest and to-be-bold toward the friends
βουλόμενος, οὐ φαύλην ἔφη πρόρρησιν ἐμπεπτωκέναι
wishing not bad he-said proclamation to-have-fallen
λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ· καὶ τὰ μὲν
of-calculation needing of-money to-him and the-things indeed

Γαλατῶν, ὅταν ὑποχείριοι γένωνται, λαφυραγωγήσεσθαι,
of-Gauls when subject they-become to-be-going-to-plunder
ἡ δὲ Γάλβα πάρεστιν οὐσία χρῆσθαι καὶ πωλεῖν ἤδη
the and of-Galba is-at-hand estate to-use and to-sell already
πολεμίου πεφηνότος.
enemy having-appeared
οὗτός τε δὴ τὰ Γάλβα πιπράσκειν ἐκέλευε, καὶ
this-one both indeed the-things of-Galba to-sell ordered and
Γάλβας ἀκούσας, ὅσα Νέρωνος ἦν ἐν Ἰβηρίᾳ
Galba having-heard as-many-as of-Nero were in Iberia
κηρύττων εὕρισκε πολλοὺς προθυμοτέρους ὠνητάς.
putting-up-for-auction found many more-eager buyers
6 Ἀφισταμένων δὲ πολλῶν τοῦ Νέρωνος καὶ πάντων
revolting and many — from-Nero and all
ἐπιεικῶς τῷ Γάλβᾳ προστιθεμένων, μόνος Κλώδιος
fairly — to-Galba attaching-themselves alone Clodius
Μάκρος ἐν Λιβύῃ καὶ Οὐεργίνιος Ῥοῦφος ἐν Γαλατίᾳ τοῦ
Macer in Libya and Verginius Rufus in Gaul of-the
Γερμανικοῦ στρατεύματος ἡγούμενος αὐτοὶ καθ' ἑαυτοὺς
German army leading themselves by themselves
ἔπραττον, οὐ τὴν αὐτὴν αἵρεσιν ἔχοντες.
acted not the same choice having
ἀλλ' ὁ μὲν Κλώδιος, ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς
but — indeed Clodius in plunderings of-affairs having-been
καὶ φόνοις ἀνδρῶν δι' ὠμότητα καὶ πλεονεξίαν,
and murders of-men through savagery and greed
δῆλος ἦν ἐν τῷ μήτε κατέχειν μήτε ἀφιέναι τὴν
plain was in the neither to-hold nor to-let-go the
ἀρχὴν δύνασθαι περιφερόμενος, Οὐεργίνιος δὲ ταγμάτων
rule to-be-able being-carried-about Verginius and of-legions
ἐπιστατῶν δυνατωτάτων πολλάκις αὐτὸν ἀναγορευόντων
presiding most-powerful often him proclaiming

αὐτοκράτορα καὶ βιαζομένων οὔτε αὐτὸς ἔφη λήψεσθαι
emperor and forcing neither himself he-said to-be-going-to-take
τὴν ἡγεμονίαν οὔτε ἄλλῳ περιόψεσθαι διδομένην, ὃν
the empire nor to-another to-be-going-to-allow being-given whom
ἂν μὴ ἡ σύγκλητος ἕληται.
— not the senate may-choose
ταῦτα τὸν Γάλβαν οὐ μετρίως ἐθορύβει τὸ πρῶτον· ἐπεὶ
these-things — Galba not moderately disturbed the first when
δὲ τὰ Οὐεργινίου καὶ Οὐίνδικος στρατεύματα τρόπον τινὰ
and the of-Verginius and of-Vindex armies in-manner some
βίᾳ τοὺς ἡγεμόνας, ὥσπερ ἡνιόχους κρατῆσαι χαλινῶν
by-force the leaders like charioteers to-control the-reins
μὴ δυνηθέντας, εἰς μάχην ἐξενεγκόντα μεγάλην συνέρραξαν,
not having-been-able into battle having-carried great clashed
καὶ Οὐίνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ δισμυρίοις Γαλατῶν
and Vindex himself having-killed over twenty-thousand of-Gauls
πεσοῦσι, διῆλθε λόγος ὡς βουλομένων πάντων ἐπὶ νίκῃ
having-fallen went-through report that wishing all at victory
τοσαύτῃ τὸν Οὐεργίνιον ἀναδέξασθαι τὴν ἡγεμονίαν ἢ
so-great — Verginius to-take-up the empire or
πάλιν μεταβαλουμένων πρὸς Νέρωνα,
again going-to-change toward Nero
τότε δὴ παντάπασι περίφοβος γενόμενος ὁ Γάλβας
then indeed altogether very-fearful having-become — Galba
ἔγραψε τῷ Οὐεργινίῳ, παρακαλῶν κοινοπραγεῖν καὶ
wrote — to-Verginius urging to-act-in-common and
διαφυλάσσειν ἅμα τὴν ἡγεμονίαν καὶ τὴν ἐλευθερίαν
to-preserve at-once the empire and the freedom
Ῥωμαίοις· αὖθις δὲ μετὰ τῶν φίλων εἰς Κλουνίαν, Ἰβηρικὴν
for-Romans again and with the friends to Clunia Iberian
πόλιν, ἀναχωρήσας ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων
city having-withdrawn in the to-repent about the-things having-happened

καὶ ποθεῖν τὴν συνήθη καὶ σύντροφον ἀπραγμοσύνην
and to-long-for the accustomed and familiar untroubled-life
μᾶλλον ἢ πράττειν τι τῶν ἀναγκαίων διέτριβεν.
rather than to-do anything of-the necessary-things he-spent-time

II · THE NEWS FROM ROME

The freedman Icelus rides from Rome in seven days to tell Galba that the soldiers, the people, and the senate have proclaimed him and that Nero is dead; Vinius soon confirms it. At Rome Nymphidius gathers power to himself, orders Tigellinus to lay down his sword, courts the consulars, lets the people kill Nero's minions, and claims to be the son of Gaius Caesar, plotting for the succession. Verginius, though his legions press the empire on him, leaves the choice to the senate and swears his troops to Galba. Galba receives the senate's envoys at Narbo graciously, but Vinius, greedy and dissolute, soon leads him into Nero's extravagance.

7 Ἦν δὲ θέρος ἤδη, καὶ βραχὺ πρὸ δείλης ἧκεν ἀπὸ Ῥώμης
was and summer already and shortly before evening came from Rome
Ἴκελος ἀνὴρ ἀπελεύθερος ἑβδομαῖος. πυθόμενος δὲ τὸν
Icelus man freedman on-the-seventh-day having-learned and —
Γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτὸν ἐβάδιζε συντόνως ἐπὶ τὸ
Galba to-be-resting by himself he-walked intently to the
δωμάτιον αὐτοῦ, καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ
chamber his and by-force of-the chamberlains having-opened and
παρελθὼν ἀπήγγειλεν ὅτι καὶ ζῶντος ἔτι τοῦ Νέρωνος,
having-come-in reported that both living still — Nero
οὐκ ὄντος δὲ φανεροῦ, τὸ στράτευμα πρῶτον, εἶτα
not being but visible the army first then
ὁ δῆμος καὶ ἡ σύγκλητος αὐτοκράτορα τὸν Γάλβαν
the people and the senate emperor — Galba
ἀναγορεύσειεν, ὀλίγον δὲ ὕστερον ἀπαγγελθείη τεθνηκὼς
had-proclaimed little and later it-had-been-reported dead

ἐκεῖνος· οὐ μὴν αὐτός γε πιστεύσας ἔφη τοῖς
that-one not indeed himself indeed having-believed he-said to-those
ἀπαγγέλλουσιν, ἀλλὰ ἐπελθὼν τῷ νεκρῷ καὶ κείμενον
reporting but having-come-upon the corpse and lying
θεασάμενος, οὕτως ἐξελθεῖν.
having-beheld thus to-have-come-out
ταῦτα ἀπαγγελλόμενα λαμπρὸν ἦρε τὸν Γάλβαν, καὶ
these-things reported brilliant raised — Galba and
συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἐκτεθαρρηκότων ὑπ᾽
ran-together multitude of-men to doors having-taken-courage by
αὐτοῦ βεβαίως, καίτοι τὸ τάχος ἦν ἄπιστον. ἀλλὰ καὶ
him firmly and-yet the speed was incredible but also
δυσὶν ἡμέραις ὕστερον Οὐίνιος Τίτος ἀπὸ στρατοπέδου
two days later Vinius Titus from camp
μεθ᾽ ἑτέρων ἀφίκετο τὰ δόξαντα τῇ συγκλήτῳ
with others arrived the-things having-seemed-good to-the senate
καθ᾽ ἕκαστον ἀπαγγέλλων. οὗτος μὲν οὖν εἰς τάξιν
in detail reporting this-one indeed then into rank
ἔντιμον προήχθη· τῷ δ᾽ ἀπελευθέρῳ δακτυλίους τε
honored was-advanced to-the and freedman rings both
χρυσοῦς ἔδωκε καὶ Μαρκιανὸς ὁ Ἴκελος ἤδη καλούμενος
golden he-gave and Marcianus — Icelus already being-called
εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν.
had the first among the freedmen power
Ἐν δὲ Ῥώμῃ Νυμφίδιος Σαβῖνος, οὐκ ἠρέμα καὶ κατὰ 8
in and Rome Nymphidius Sabinus not quietly and by
μικρόν, ἀλλὰ συλλήβδην ὁμοῦ, πάντα πράγματα φέρων
little but all-together at-once all affairs carrying
περιήνεγκεν εἰς ἑαυτόν, ὡς Γάλβαν μὲν ὄντα πρεσβύτην καὶ
brought-round to himself as Galba indeed being old-man and
μόλις εἰς Ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆναι διὰ
hardly to Rome going-to-hold-out carried-in-a-litter to-be-brought through

γῆρας ἦν γὰρ ἐτῶν τριῶν καὶ ἑβδομήκοντα· τὰ δὲ αὐτόθι
old-age he-was for of-years three and seventy the and there
στρατεύματα, καὶ πάλαι πρὸς αὐτὸν εὐνόως ἔχοντα καὶ
armies also long toward him well-disposed being and
νῦν ἑνὸς ἐξηρτημένα μόνου, διὰ τὸ τῆς δωρεᾶς μέγεθος
now on-one depending alone because-of the of-the gift greatness
εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, Γάλβαν δὲ χρεωφειλέτην.
benefactor him to-consider Galba but debtor
εὐθὺς οὖν Τιγελλίνῳ μὲν τῷ συνάρχοντι προσέταξεν
at-once then to-Tigellinus indeed the colleague he-ordered
ἀποθέσθαι τὸ ξίφος, ὑποδοχὰς δὲ ποιούμενος ἐδείπνιζε τοὺς
to-lay-down the sword receptions and making he-dined the
